7. *διῳκίσθη*] Pass. zu dem § 5 stehenden Medium. — *τετραχῇ*] der fünfte Teil blieb in der Stadt. — *ᾤκουν*] hier Imperf. der Vorvergangenheit. — *οἱ ἔχοντες τὰς οὐσίας*] die aristokratischen reichen Grundbesitzer. — *χωρίων*] „Grundstücke". Der Genet. abh. von *ἐγγύτερον*. — *ἀπηλλαγμένοι ... πεπραγμένος*] vgl. zu § 1. — *οὐ καθ' ἕνα*] distributiv rücksichtlich der Zeit: „jedesmal nicht blofs einen"; statt des erwarteten Gegensatzes *ἀλλὰ κατὰ τέτταρας* „sondern je vier", tritt *κατὰ κώμην ἑκάστην* ein. — *ξεναγόν*] „Bundesgenossenführer". — *προθυμότερον*] So bewährte sich der Grundsatz: *Divide et impera*. — *σοφωτέρων*] Pragmatische Bemerkung des Historikers, vgl. das homerische Wort *ῥεχθὲν δέ τε νήπιος ἔγνω*. — *τὸ ... ποιεῖσθαι*] prägnant sc. *ῥεῖν*; „gehen lassen"; der Infin. epexegetisch zu *ταύτῃ γε*.

8. *φεύγοντες*] vgl. IV, 4, 15. — *τῶν συμμάχων*] proleptisch in den regierenden Satz gezogen, abh. von *ἕκαστοι*. — *ἕκαστοι*] der kollektive Plural bezeichnet den einzelnen Staat als eine aus vielen bestehende Einheit; vgl. im Lat. *alteri, utrique* u. a. m. — *αὐτοῖς*] *τοῖς Λακεδαιμονίοις*, objektiver Bericht; das Reflexivum *σφίσι* oder *ἑαυτοῖς* würde zweideutig sein. — *καιρὸν ἡγησάμενοι*] proleptisch; *πορεύεσθαι* ist aus dem Folgenden zu ergänzen. — *ἐδίδασκον*] Imperf. de conatu. — *ὡς*] statt *ὅτι* vorwiegend bei Betrachtungen. — *σφεῖς*] indirekt Reflex. auf das regierende Subj. bezüglich. — *ἦσαν ... ἐδέχετο ... συνεστρατεύοντο*] wie *ᾤκουν* § 7. — *συνεστρα-*

ὅποι ἡγοῖντο· ἐπεὶ δὲ σφᾶς αὐτοὺς ἐξέβαλον, ὡς ἕπεσθαι μὲν οὐδαμοῖ ἐθέλοιεν, μόνους δὲ πάντων ἀνθρώπων Λακεδαιμονίους οὐ δέχοιντο εἴσω τῶν πυλῶν. ἀκούσασιν οὖν ταῦτα τοῖς ἐφόροις 9 ἄξιον ἔδοξεν ἐπιστροφῆς εἶναι. καὶ πέμψαντες πρὸς τὴν τῶν Φλιασίων πόλιν ἔλεγον, ὡς φίλοι μὲν οἱ φυγάδες τῇ Λακεδαιμονίων πόλει εἶεν, ἀδικοῦντες δ' οὐδὲν φεύγοιεν. ἀξιοῦν δ' ἔφασαν μὴ ὑπ' ἀνάγκης, ἀλλὰ παρ' ἑκόντων διαπράξασθαι κατελθεῖν αὐτούς. ἃ δὴ ἀκούσαντες οἱ Φλιάσιοι ἔδεισαν, μή, εἰ στρατεύσαιντο ἐπ' αὐτούς, τῶν ἔνδοθεν παρείησάν τινες αὐτοὺς εἰς τὴν πόλιν. καὶ γὰρ συγγενεῖς πολλοὶ ἔνδον ἦσαν τῶν φευγόντων καὶ ἄλλως εὐμενεῖς, καὶ οἷα δὴ ἐν ταῖς πλείσταις πόλεσι νεωτέρων τινὲς ἐπιθυμοῦντες πραγμάτων κατάγειν ἐβούλοντο τὴν φυγήν. τοιαῦτα 10 μὲν δὴ φοβηθέντες ἐψηφίσαντο καταδέχεσθαι τοὺς φυγάδας καὶ ἐκείνοις μὲν ἀποδοῦναι τὰ ἐμφανῆ κτήματα, τοὺς δὲ τὰ ἐκείνων πριαμένους ἐκ δημοσίου τὴν τιμὴν ἀπολαβεῖν· εἰ δέ τι ἀμφίλογον πρὸς ἀλλήλους γίγνοιτο, δίκῃ διακριθῆναι. καὶ ταῦτα μὲν αὖ περὶ τῶν Φλιασίων φυγάδων ἐν ἐκείνῳ τῷ χρόνῳ ἐπέπρακτο.

Ἐξ Ἀκάνθου δὲ καὶ Ἀπολλωνίας, αἵπερ μέγισται τῶν περὶ 11

τεύοντο] οἱ πολῖται; Construct. ad sensum. — σφᾶς αὐτούς] stärker als das gewöhnliche indirekte Reflexiv wie vorher σφεῖς; Subjekt der zugehörigen Verben bleibt οἱ πολῖται = ἡ πόλις. — ἕπεσθαι] τοῖς Λακεδαιμονίοις. — ἐθέλοιεν] Übergang in den Opt. Or. obl.

9. ἐπιστροφῆς] *animadversio*. Beachtung, gesteigert „Ahndung". — φίλοι μὲν ... δέ] kopulativ, nicht adversativ. — ἀδικοῦντες ... φεύγοιεν] beide Präs. mit Perfektbedeutung. — ἀξιοῦν] Urteilssatz, abhängig von ἔφασαν. — διαπράξασθαι] Begehrungssatz abh. von ἀξιοῦν. — κατελθεῖν] Begehrungssatz abh. von διαπράξασθαι. — παρ' ἑκόντων] τῶν Φλιασίων. — κατελθεῖν] wie κατάγειν und καταδέχεσθαι § 10, Verb. propr. inbezug auf polit. Flüchtlinge. — αὐτούς] τοὺς φυγάδας. — στρατεύσαιντο] οἱ Λακεδαιμόνιοι. — ἐπ' αὐτούς] objektiv für ἐπὶ σφᾶς. — τῶν ἔνδοθεν] Attraktion zum Prädikat = τῶν ἔνδον, vgl. συγγενεῖς. — παρείησαν] zweideutige Verbalform. — ἄλλως] „aus sonstigen Gründen". — εὐμενεῖς] τοῖς φεύγουσιν. — οἷα δή] εἰκὸς γίγνεσθαι. — νεωτέρων] πραγμάτων. — τ. φυγήν] Abstractum pro concreto = τ. φυγάδας.

10. ἐμφανῆ] „nachweislich". — τοὺς δέ] Subjektswechsel. — ἀποδοῦναι ... ἀπολαβεῖν] *reddere ... recipere*. — πριαμένοις] Aor. Bedeutung. — ἐκ δημοσίου] ἐκ δημοσίων χρημάτων. — διακριθῆναι] nochmals Subjektswechsel. — αὖ] mit Bezug auf Mantinea § 1/7. — περὶ τῶν] vgl. 1, 20.

11. Ἄκανθος] St. an der N. O. Küste von Chalcidice auf der Halbinsel Akte. — Ἀπολλωνία] St. im N.

Ὄλυνθον πόλεων, πρέσβεις ἀφίκοντο* εἰς Λακεδαίμονα. ἀκούσαντες δ' οἱ ἔφοροι ὧν ἕνεκα ἧκον, προσήγαγον αὐτοὺς πρός τε
12 τὴν ἐκκλησίαν καὶ τοὺς συμμάχους. ἔνθα δὴ Κλειγένης Ἀκάνθιος ἔλεξεν· Ὦ ἄνδρες Λακεδαιμόνιοί τε καὶ σύμμαχοι, οἰόμεθα λανθάνειν ὑμᾶς πρᾶγμα μέγα φυόμενον ἐν τῇ Ἑλλάδι. ὅτι μὲν γὰρ τῶν ἐπὶ Θρᾴκης μεγίστη πόλις Ὄλυνθος, σχεδὸν πάντες ἐπίστασθε. οὗτοι τῶν πόλεων πολλὰς προσηγάγοντο ἐφ' ᾧτε νόμοις τοῖς αὐτοῖς χρῆσθαι καὶ συμπολιτεύειν· ἔπειτα δὲ καὶ τῶν μειζόνων προσέλαβόν τινας. ἐκ δὲ τούτου ἐπεχείρησαν καὶ τὰς τῆς Μακεδονίας πόλεις ἐλευθεροῦν ἀπὸ Ἀμύντου τοῦ Μακεδόνων βα-
13 σιλέως. ἐπεὶ δὲ εἰσήκουσαν αἱ ἐγγύτατα αὐτῶν, ταχὺ καὶ ἐπὶ τὰς πόρρω καὶ μείζους ἐπορεύοντο· καὶ κατελίπομεν ἡμεῖς ἔχοντας ἤδη ἄλλας τε πολλὰς καὶ Πέλλαν, ἥπερ μεγίστη τῶν ἐν Μακεδονίᾳ πόλεων· καὶ Ἀμύνταν δὲ ᾐσθανόμεθα ἀποχωροῦντά τε ἐκ τῶν πόλεων καὶ ὅσον οὐκ ἐκπεπτωκότα ἤδη ἐκ πάσης Μακεδονίας. πέμψαντες δὲ καὶ πρὸς ἡμᾶς καὶ πρὸς Ἀπολλωνιάτας οἱ Ὀλύνθιοι προεῖπον ἡμῖν, ὅτι, εἰ μὴ παρεσοίμεθα συστρατευσόμενοι,
14 ἐκεῖνοι ἐφ' ἡμᾶς ἴοιεν. ἡμεῖς δέ, ὦ ἄνδρες Λακεδαιμόνιοι, βουλόμεθα μὲν τοῖς πατρίοις νόμοις χρῆσθαι καὶ αὐτοπολῖται εἶναι· εἰ μέντοι μὴ βοηθήσει τις, ἀνάγκη καὶ ἡμῖν μετ' ἐκείνων γίγνεσθαι. καίτοι νῦν γ' ἤδη αὐτοῖς εἰσὶν ὁπλῖται μὲν οὐκ ἐλάττους ὀκτακοσίων, πελτασταὶ δὲ πολὺ πλείους ἢ τρὶς τοσοῦτοι· ἱππεῖς

---

von Chalcidice. — Ὄλυνθος] St. auf Chalcidice am toronäischen Meerbusen zwischen den Halbinseln Pallene und Sithonia. — μέγισται] εἰσίν, vgl. § 12. 13. — συμμάχους] Bundesabgeordnete für die erwartete spartan. ἐκκλησία.

12. πρᾶγμα] „ein Stück Arbeit", d. i. „Gefahr". — οὗτοι] οἱ Ὀλύνθιοι; asyndetisch statt οὗτοι μὲν οὖν. — τῶν πόλεων] τῶν μικροτέρων. — συμπολιτεύειν] genauer bestimmt § 19. — ἔπειτα δέ] im Gegensatz zu einem elliptischen πρῶτον μὲν προσηγάγοντο.

13. εἰσήκουσαν] ὑπήκουσαν. — ἐγγύτατα ... πόρρω] attributive Adverbia. — αὐτῶν] partitiv. — Πέλλα] im N. von Macedonien; alte Hauptstadt; die spätere ward Pydna. — ὅσον οὐ] *tantum non*. — προεῖπον] „drohen", vgl. 1, 34. — παρεσοίμεθα ... ἴοιεν] Opt. Or. obl. ἴοιεν Präs. de conatu mit Futurbedeut. — ἐκεῖνοι] weist auf das Subj. οἱ Ὀλύνθιοι zurück.

14. αὐτοπολῖται] Bürger eines selbständigen Staates; analog αὐτόνομος, αὐτοκράτωρ. — τίς] unbestimmt für ὑμεῖς. — γίγνεσθαι] „treten" inchoatives Präsens, welches sich zu dem durativen εἶναι verhält wie im Lat. *consido*, *languesco* zu *consideo*, *langueo*. — καίτοι] *atqui*. — ἢ τρὶς τοσοῦτοι] häufige Verbindung im Griechi-

γε μέντοι, ἐὰν καὶ ἡμεῖς μετ᾽ αὐτῶν γενώμεθα, ἔσονται πλείους ἢ
χίλιοι. κατελίπομεν δὲ καὶ Ἀθηναίων καὶ Βοιωτῶν πρέσβεις ἤδη 15
αὐτόθι. ἠκούομεν δέ, ὡς καὶ αὐτοῖς Ὀλυνθίοις ἐψηφισμένον εἴη
συμπέμπειν πρέσβεις εἰς ταύτας τὰς πόλεις περὶ συμμαχίας.
καίτοι εἰ τοσαύτη δύναμις προσγενήσεται τῇ τε Ἀθηναίων καὶ
Θηβαίων ἰσχύι, ὁρᾶτε, ἔφη, ὅπως μὴ οὐκέτι εὐμεταχείριστα ἔσται
ἐκεῖνα ὑμῖν. ἐπεὶ δὲ καὶ Ποτίδαιαν ἔχουσιν ἐπὶ τῷ ἰσθμῷ τῆς
Παλλήνης οὖσαν, νομίζετε καὶ τὰς ἐντὸς ταύτης πόλεις ὑπηκόους
ἔσεσθαι αὐτῶν. τεκμήριον δ᾽ ἔτι ἔστω ὑμῖν καὶ τοῦτο, ὅτι ἰσχυ-
ρῶς αὗται αἱ πόλεις πεφόβηνται· μάλιστα γὰρ μισοῦσαι τοὺς
Ὀλυνθίους ὅμως οὐκ ἐτόλμησαν μεθ᾽ ἡμῶν πρεσβείας πέμπειν
διδαξούσας ταῦτα. ἐννοήσατε δὲ καὶ τόδε, πῶς εἰκὸς ὑμᾶς τῆς 16
μὲν Βοιωτίας ἐπιμεληθῆναι, ὅπως μὴ καθ᾽ ἓν εἴη, πολὺ δὲ μεί-
ζονος ἀθροιζομένης δυνάμεως ἀμελῆσαι, καὶ ταύτης οὐ κατὰ γῆν
μόνον, ἀλλὰ καὶ κατὰ θάλατταν ἰσχυρᾶς γιγνομένης. τί γὰρ δὴ
καὶ ἐμποδών, ὅπου ξύλα μὲν ναυπηγήσιμα ἐν αὐτῇ τῇ χώρᾳ ἐστί,
χρημάτων δὲ πρόσοδοι ἐκ πολλῶν μὲν λιμένων, ἐκ πολλῶν δ᾽
ἐμπορίων, πολυανθρωπία γε μὴν διὰ τὴν πολυσιτίαν ὑπάρχει;
ἀλλὰ μὴν καὶ γείτονές γ᾽ εἰσὶν αὐτοῖς Θρᾷκες οἱ ἀβασίλευτοι, οἳ 17
θεραπεύουσι μὲν καὶ νῦν ἤδη τοὺς Ὀλυνθίους· εἰ δὲ ὑπ᾽ ἐκείνοις
ἔσονται, πολλὴ καὶ αὕτη δύναμις προσγένοιτ᾽ ἂν αὐτοῖς. τούτων

---

schen. Das in den Handschriften fehlende τρίς erklärt die von Demosthenes und Diodor auf etwa 5000 M. angegebene Streitmacht Olynths sowie die Höhe des spartanischen Angriffsheeres c. 10000 M.; vgl. § 20. — ἐὰν καί] nicht konzessiv, da καί zu ἡμεῖς gehört.

15. Βοιωτῶν] Θηβαίων. — ἐψηφισμένον] „beschlossene Sache“. — συμπέμπειν] ἅμα τοῖς πρέσβεσι τῶν Ἀθ. καὶ Βοιωτ. — καίτοι] § 14. — ὅπως μὴ οὐκέτι] *ne non iam*, d. i. dafs es nicht dahin kommt, dafs nicht mehr u. s. w. — ἐκεῖνα] τὰ ἐκεῖ χωρία, d. i. τῶν Ὀλυνθίων. — Ποτίδαια] korinth. Kolonie südlich von Olynth auf der Landenge von Pallene. — νομίζετε] wie vorher ὁρᾶτε; welcher Modus? — πεφόβηνται] „eingeschüchtert“. — πῶς] = ἄρα μή wie πῶς οὐκ = ἆρ᾽ οὐκ rethorisch.

16. εἰκός] ἂν εἴη hier mit dem Infin. des Begehrungssatzes; also welche Bedeutung? — τῆς μὲν ... πολὺ δέ] im D. Subordination. — καθ᾽ ἕν] „in einer Hand“, *ad unum redigere*, korrespondierend mit ἀθροιζομένης. — καὶ ταύτης] *et quidem*. — γιγνομένης] ohne ἄν, Part. de conatu. — τί δή] = τί ποτε. — ἐμποδών] ἐστι τοῦ μὴ ἰσχυρὰν γενέσθαι. — ἐμπορίων] „Handelsplätze“. — γε μήν] „und unbestreitbar wenigstens“.

17. ἀλλὰ μὴν καὶ ... γε] Einführung eines neueren stärkeren Motivs „weiterhin aber“. — δύναμις] ohne Artikel,

μὴν ἀκολουθούντων καὶ τὰ ἐν τῷ Παγγαίῳ χρύσεια χεῖρα ἂν αὐτοῖς ἤδη ὀρέγοι. καὶ τούτων ἡμεῖς οὐδὲν λέγομεν ὅ,τι οὐκ ἐν τῷ
18 *τῶν Ὀλυνθίων δήμῳ μυριόλεκτόν ἐστι. τό γε μὴν φρόνημα αὐτῶν τί ἄν τις λέγοι; καὶ γὰρ ὁ θεὸς ἴσως ἐποίησεν ἅμα τῷ δύνασθαι καὶ τὰ φρονήματα αὔξεσθαι τῶν ἀνθρώπων. ἡμεῖς μὲν οὖν, ὦ ἄνδρες Λακεδαιμόνιοί τε καὶ σύμμαχοι, ἐξαγγέλλομεν, ὅτι οὕτω τἀκεῖ ἔχει· ὑμεῖς δὲ βουλεύεσθε, εἰ δοκεῖ ἄξια ἐπιμελείας εἶναι. δεῖ γε μὴν ὑμᾶς καὶ τόδε εἰδέναι, ὡς, ἣν εἰρήκαμεν δύναμιν μεγάλην οὖσαν, οὔπω δυσπάλαιστός ἐστιν· αἱ γὰρ ἄκουσαι τῶν πόλεων τῆς πολιτείας κοινωνοῦσαι, αὗται, ἄν τι ἴδωσιν ἀντίπαλον, ταχὺ*
19 *ἀποστήσονται· εἰ μέντοι συγκλεισθήσονται ταῖς τε ἐπιγαμίαις καὶ ἐγκτήσεσι παρ᾽ ἀλλήλοις, ἃς ἐψηφισμένοι εἰσί, καὶ γνώσονται, ὅτι μετὰ τῶν κρατούντων ἕπεσθαι κερδαλέον ἐστίν, ὥσπερ Ἀρκάδες, ὅταν μεθ᾽ ὑμῶν ἴωσι, τά τε αὑτῶν σῴζουσι καὶ τὰ ἀλλότρια ἁρπάζουσιν, ἴσως οὐκέθ᾽ ὁμοίως εὔλυτα ἔσται.*

20 *Λεχθέντων δὲ τούτων ἐδίδοσαν οἱ Λακεδαιμόνιοι τοῖς συμμάχοις λόγον καὶ ἐκέλευον συμβουλεύειν ὅ,τι γιγνώσκοι τις ἄριστον τῇ Πελοποννήσῳ τε καὶ τοῖς συμμάχοις. ἐκ τούτου μέντοι πολλοὶ μὲν συνηγόρευον στρατιὰν ποιεῖν, μάλιστα δὲ οἱ βουλόμενοι χαρίζεσθαι τοῖς Λακεδαιμονίοις, καὶ ἔδοξε πέμπειν τὸ εἰς τοὺς μυ-*

---

daher Prädikat zu *αὕτη*, welches im D. adverbiell zu übersetzen ist. — *μὴν*] epanaleptisch zu *ἀλλὰ μήν*. — *Παγγαῖον*] erzreiches Gebirge im NO. von Chalcidice. — *χεῖρα . . . ὀρέγοι*] metaphorisch wie im D. — *ἡμεῖς*] betont im Gegensatz zu *ἐν τῷ . . . δήμῳ*.

18. *τὸ . . . φρόνημα*] „Hochmut“; emphatische Stellung; doppelter Acc. bei Verben der Nachrede. — *ἴσως*] „naturgemäſs“. — *ἐπιμελείας*] Gegensatz § 16 *ἀμελῆσαι*. — *γε μήν*] „indes“, das Vorige beschränkend. — *ἣν . . . δύναμιν*] vgl. 1, 30. — *εἰρήκαμεν*] nicht als Verb. dicendi, sondern nach Analogie von *ἀγγέλλω* als Verb. cognoscendi mit dem Part. behandelt. — *ἄκουσαι*] vgl. § 15 *μισοῦσαι*. — *τῶν πόλεων*] partitiv zu *αἱ . . . κοιν.* — *τῆς πολιτείας*] zur Sache vgl. § 12. — *αὗται*] epanaleptisch. — *ἀντίπαλον*] *ἐκείνοις γενόμενον*, vgl. § 14 *εἰ . . . βοηθήσει τις*.

19. *ἐπιγαμίαις*] *ius connubii.* — *ἐγκτήσεσι*] „Grunderwerb“. — *παρ᾽ ἀλλήλοις*] „gegenseitig“, Constructio ad sensum. In diesem Beschlusse liegt der höchste Grad der bereits faktischen *πολιτεία* § 12. — *μετὰ τῶν κρ.*] pleonastisch statt des Dat. — *ὥσπερ*] „wie zum Beispiel“. — *ἴσως*] vgl. § 18. — *εὔλυτα*] *τὰ τῶν Ὀλυνθίων*.

20. *ποιεῖν*] „aufbringen“. — *τὸ σύνταγμα*] „das gebührende Kontingent“. — *τοὺς μυρίους*] „die erforderlichen Z.“. — *πέμπειν κτλ.*] unge-

ρίους σύνταγμα ἑκάστην πόλιν. λόγοι δὲ ἐγένοντο ἀργύριόν τε 21
ἀντ' ἀνδρῶν ἐξεῖναι διδόναι τῇ βουλομένῃ τῶν πόλεων, τριώβολον
Αἰγιναῖον κατὰ ἄνδρα, ἱππέας τε εἴ τις παρέχοι, ἀντὶ τεττάρων
ὁπλιτῶν τὸν μισθὸν τῷ ἱππεῖ δίδοσθαι· εἰ δέ τις τῶν πόλεων 22
ἐκλίποι τὴν στρατιάν, ἐξεῖναι Λακεδαιμονίοις ἐπιζημιοῦν στατῆρι
κατὰ τὸν ἄνδρα τῆς ἡμέρας. ἐπεὶ δὲ ταῦτα ἔδοξεν, ἀναστάντες 23
οἱ Ἀκάνθιοι πάλιν ἐδίδασκον, ὡς ταῦτα καλὰ μὲν εἴη τὰ ψηφίσματα, οὐ μέντοι δυνατὰ ταχὺ περανθῆναι. βέλτιον οὖν ἔφασαν εἶναι, ἐν ᾧ αὕτη ἡ παρασκευὴ ἀθροίζοιτο, ὡς τάχιστα ἄνδρα ἐξελθεῖν ἄρχοντα καὶ δύναμιν ἐκ Λακεδαίμονός τε, ὅση ἂν ταχὺ ἐξέλθοι, καὶ ἐκ τῶν ἄλλων πόλεων· τούτου γὰρ γενομένου τάς τε οὔπω προσκεχωρηκυίας πόλεις στῆναι ἂν καὶ τὰς βεβιασμένας
ἧττον ἂν συμμαχεῖν. δοξάντων δὲ καὶ τούτων ἐκπέμπουσιν οἱ 24
Λακεδαιμόνιοι Εὐδαμίδαν καὶ σὺν αὐτῷ νεοδαμώδεις τε καὶ τῶν περιοίκων καὶ τῶν Σκιριτῶν ἄνδρας ὡς δισχιλίους. ὁ μέντοι

---

wöhnliche Stellung des Prädikats und Objekts vor dem Subjekt.

21. *λόγοι*] „Vorschläge". — *ἐξεῖναι διδόναι*] beachte die Umstellung der zugehörigen Objekte. — *τριώβολον Αἰγιναῖον*] drei äginetische Obolen = $^1/_2$ äginet. Drachme = 54 Pf. Die äginet. Drachme verhält sich zur att. im Wert wie 7 : 5. — *κατ' ἄνδρα*] für jeden Mann (Hopliten) und Tag. — *ἀντὶ τεττάρων ὁπλιτῶν*] Comparatio compendiaria „entsprechend dem Solde für vier Hopliten", d. i. vier Triobolen. — *τῷ ἱππεῖ*] distributiv. — *δίδοσθαι*] vonseiten der Geld beisteuernden Staaten; das Passiv bezeichnet die Gegenverpflichtung zu *ἱππ. παρέχοι* und steht parallel zu *ἐξεῖναι*.

22. *ἐκλίποι*] deserere. — *στατῆρι*] ein Stater = 2 Drachmen = 2,16 Mark, der vierfache Betrag des Hoplitensoldes.

23. *ἔδοξεν*] „die Vorschläge gutheifsen". — *ἐδίδασκον*] T. de conatu. — *ταῦτα*] durch das Prädikat von dem zugehörigen Subjektsteil getrennt. — *μέντοι*] stärker als *δέ* mit *μέν* korrespondierend. — *ἄρχοντα*] synthetische Apposition, d. h. substantivisches Attribut, wie z. B. *ἀνὴρ δικαστής*. — *ἐξελθεῖν*] einstweilen. — *ὅση ἂν ... ἐξέλθοι*] selbstverständlich nicht hypothetischer Relativsatz, also nicht Vordersatz, sondern hypothetischer Nachsatz (Mod. potentialis) in der zufälligen Form eines Relativsatzes; ergänze als Vordersatz *εἰ ἐξείη*. — *γενομένου*] hypothet. Vordersatz. — *στῆναι*] „Halt machen", im Anschlufs = *ἀποστῆναι τοῦ (μὴ) προσχωρεῖν τοῖς Ὀλυνθίοις*. — *συμμαχεῖν*] durativ.

24. *καὶ τούτων*] mit Bezug auf *ταῦτα* § 23. — *νεοδαμώδεις*] „Neubürger", freigelassene Heloten. — *περιοίκων*] die achäischen Stämme, welche zwar frei, aber nicht stimmfähig, vielmehr Sparta dienst- und zollpflichtig waren. — *Σκιρῖται*] Gebirgsvolk in NW. v. Lakonien, im Kriege eine selb-

Εὐδαμίδας ἐξιὼν Φοιβίδαν τὸν ἀδελφὸν ἐδεήθη τῶν ἐφόρων τοὺς ὑπολειπομένους τῶν ἑαυτῷ προστεταγμένων ἀθροίσαντα μετιέναι· αὐτὸς δὲ ἐπεὶ ἀφίκετο εἰς τὰ ἐπὶ Θρᾴκης χωρία, ταῖς μὲν δεομέναις τῶν πόλεων φρουροὺς ἔπεμπε, Ποτίδαιαν δὲ καὶ προσέλαβεν ἑκοῦσαν, σύμμαχον ἤδη ἐκείνων οὖσαν, καὶ ἐντεῦθεν ὁρμώμενος ἐπολέμει ὥσπερ εἰκὸς τὸν ἐλάττω ἔχοντα δύναμιν.

25 Ὁ δὲ Φοιβίδας, ἐπεὶ ἠθροίσθησαν αὐτῷ οἱ ὑπολειφθέντες τοῦ Εὐδαμίδου, λαβὼν αὐτοὺς ἐπορεύετο. ὡς δ' ἐγένοντο ἐν Θήβαις, ἐστρατοπεδεύσαντο μὲν ἔξω τῆς πόλεως περὶ τὸ γυμνάσιον· στασιαζόντων δὲ τῶν Θηβαίων, πολεμαρχοῦντες μὲν ἐτύγχανον Ἰσμηνίας τε καὶ Λεοντιάδης, διάφοροι δὲ ὄντες ἀλλήλοις καὶ ἀρχηγὸς ἑκάτερος τῶν ἑταιριῶν. ὁ μὲν οὖν Ἰσμηνίας διὰ τὸ μῖσος τῶν Λακεδαιμονίων οὐδὲ ἐπλησίαζε τῷ Φοιβίδᾳ· ὁ μέντοι Λεοντιάδης ἄλλως τε ἐθεράπευεν αὐτὸν καὶ ἐπεὶ εἰσῳκειώθη, ἔλεγε

26 τάδε· Ἔξεστί σοι, ὦ Φοιβίδα, τῇδε τῇ ἡμέρᾳ μέγιστα ἀγαθὰ τῇ σεαυτοῦ πατρίδι ὑπουργῆσαι· ἐὰν γὰρ ἀκολουθήσῃς ἐμοὶ σὺν τοῖς ὁπλίταις, εἰσάξω σε ἐγὼ εἰς τὴν ἀκρόπολιν. τούτου δὲ γενομένου νόμιζε τὰς Θήβας παντάπασιν ὑπὸ τοῖς Λακεδαιμονίοις καὶ ἡμῖν

---

ständige Schar Leichtbewaffneter auf dem linken Flügel der Spartaner. — *τὸν ἀδελφόν*] Subjekt zu *μετιέναι*. — *ἐδεήθη*] *τινος*, Grundbedeutung „bedürfen“, dann jemand um etwas (*τι*) Erwünschtes bitten; das letzte Objekt ist hier ein Acc. c. Inf. (*αἰτεῖν* = *postulare* = „eine durch das Recht begründete Forderung stellen“). — *προστεταγμένων*] „zugeordnet“. Eudamidas war Oberfeldherr. — *ἐκείνων*] d. i. *τῶν Ὀλυνθίων*. — *οὖσαν*] konzessiv. — *εἰκός*] *πολεμεῖν*. — *ἐντεῦθεν*] von Potidäa als Standquartier.

25. *οἱ ὑπολειφθέντες τ. Εὐ.*] vgl. § 24. — *ἐν Θήβαις*] „im Gebiet von Theben“, daher *ἔξω τῆς πόλεως* wie IV, 4, 15. — *γυμνάσιον*] das Herakleion im SW. der Stadt nahe an der Kadmea. — *στασιαζόντων*] Das Participⁱ steht kausal vorwiegend zum zweiten Teile des parataktisch gegliederten Nachsatzes, dessen erster Teil im D. am besten durch einen Relativsatz zu geben ist. Ismenias stand an der Spitze der antilakonischen Partei, welche sich gegen die herrschende lakonische aufgelehnt und wieder Anteil an der Regierung erlangt hatte. — *πολεμαρχοῦντες*] die höchste Behörde in Theben seit Aufhebung der Bundesbehörde (*βοιώταρχοι*) nach dem Antalcidischen Frieden. — *διάφοροι*] der begleitende Kasus zeigt, ob die Bedeutung *διαφέρειν* oder *διαφέρεσθαι* entspricht. — *ἀρχηγός*] *ὢν ἐτύγχανεν*. — *ἑταιριῶν*] politische Parteiklubs (*συνωμοσίαι*). — *τῶν Λακεδ.*] Gen. objekt. — *οὐδέ*] *ne ... quidem*. Gegensatz *οὐκ ἐθεράπευε ... οὐδέ*. — *εἰσῳκειώθη*] *οἰκεῖον ποιεῖν* „vertraut machen“.

26. *τῇδε τῇ ἡμέρᾳ*] vgl. § 2.

τοῖς ὑμετέροις φίλοις ἔσεσθαι. καίτοι νῦν μέν, ὡς ὁρᾷς, ἀποκε- 27
κήρυκται μηδένα μετὰ σοῦ στρατεύειν Θηβαίων ἐπ᾽ Ὀλυνθίους·
ἐὰν δέ γε σὺ ταῦτα μεθ᾽ ἡμῶν πράξῃς, εὐθύς σοι ἡμεῖς πολλοὺς
μὲν ὁπλίτας, πολλοὺς δὲ ἱππέας συμπέμψομεν· ὥστε πολλῇ δυ-
νάμει βοηθήσεις τῷ ἀδελφῷ. καὶ ἐν ᾧ μέλλει ἐκεῖνος Ὄλυνθον
καταστρέφεσθαι, σὺ κατεστραμμένος ἔσῃ Θήβας, πολὺ μείζω πόλιν
Ὀλύνθου. ἀκούσας δὲ ταῦτα ὁ Φοιβίδας ἀνεκουφίσθη· καὶ γὰρ 28
ἦν τοῦ λαμπρόν τι ποιῆσαι πολὺ μᾶλλον ἢ τοῦ ζῆν ἐραστής, οὐ
μέντοι λογιστικός γε οὐδὲ πάνυ φρόνιμος ἐδόκει εἶναι. ἐπεὶ δὲ
ὡμολόγησε ταῦτα, προορμῆσαι μὲν αὐτὸν ἐκέλευσεν, ὥσπερ συνε-
σκευασμένος ἦν εἰς τὸ ἀπιέναι· ἡνίκα δ᾽ ἂν ᾖ καιρός, πρὸς σὲ
ἥξω ἐγώ, ἔφη ὁ Λεοντιάδης, καὶ αὐτός σοι ἡγήσομαι. ἐν ᾧ δὲ ἡ 29
μὲν βουλὴ ἐκάθητο ἐν τῇ ἐν ἀγορᾷ στοᾷ διὰ τὸ τὰς γυναῖκας ἐν
τῇ Καδμείᾳ θεσμοφοριάζειν, θέρους δὲ ὄντος καὶ μεσημβρίας
πλείστη ἦν ἐρημία ἐν ταῖς ὁδοῖς, ἐν τούτῳ προσελάσας ἐφ᾽ ἵππου
ὁ Λεοντιάδης ἀποστρέφει τε τὸν Φοιβίδαν καὶ ἡγεῖται εὐθὺς εἰς
τὴν ἀκρόπολιν. καταστήσας δ᾽ ἐκεῖ τὸν Φοιβίδαν καὶ τοὺς μετ᾽
αὐτοῦ καὶ παραδοὺς τὴν βαλανάγραν αὐτῷ τῶν πυλῶν καὶ εἰπὼν
μηδένα παριέναι εἰς τὴν ἀκρόπολιν ὅντινα μὴ αὐτὸς κελεύοι, εὐ-
θὺς ἐπορεύετο πρὸς τὴν βουλήν. ἐλθὼν δὲ εἶπε τάδε· Ὅτι μέν, 30

---

27. *ἀποκεκήρυκται*] mit abundierender Negation, bezieht sich auf die § 15 erwähnten Unterhandlungen; vgl. § 34. — *σὺ ... μεθ᾽ ἡμῶν*] Gegens. *μηδένα μετὰ σοῦ*. — *μέλλει*] mit Inf. Präs. „noch vorhaben“. — *κατεστραμμένος*] intensiv. Med. des Interesses.

28. *ἀνεκουφίσθη*] „zu leichtfertiger Hoffnung anregen“, korrespondierend mit *οὐ λογιστικὸς οὐδὲ φρόνιμος*, d. i. „verständig berechnend und sittlich erwägend“. — *μέντοι*] im Gegens. zu *ἐραστής*. — *προορμῆσαι*] *τὸ στράτευμα*. — *ἐκέλευσε*] *Λεοντιάδης*; Subjektswechsel. — *συνεσκευασμένος*] „marschfertig“, vgl. *vasa colligere*. — *ἡγήσομαι*] m. Dat. verschieden von *ἡγ.* mit Genet.

29. *διὰ τό*] m. Infin. *propterea quod*. — *θεσμοφοριάζειν*] Das mystische Thesmophorienfest wurde zu Ehren der Demeter im Juni zur Erntezeit — nur von Frauen — gefeiert. — *θέρους δὲ ὄντος κτλ.*] kausal subord. zu *ἐρημία ἦν*. — *ἀποστρέφει*] „zurückholen“ von dem scheinbaren Abzuge. — *ἐκεῖ*] nicht *ἐκεῖσε*, da zu *καταστήσας* zu ergänzen ist *εἰς ἀρχήν*, vgl. § 30 *κατέχουσιν*. — *βαλανάγραν*] „Schlüssel“, eigentlich Zapfenzieher (*βάλανον ἄγων*), d. i. der Haken zum Herausziehen des eichelförmigen Pflockes, welcher durch die Thür und durch den vorgeschobenen Riegel zugleich gesteckt war. — *παριέναι*] transitiv, also von welchem Verb. simplex? — *ὅντινα*] *παριέναι*.

ὦ ἄνδρες, Λακεδαιμόνιοι κατέχουσι τὴν ἀκρόπολιν, μηδὲν ἀθυμεῖτε· οὐδενὶ γάρ φασι πολέμιοι ἥκειν, ὅστις μὴ πολέμου ἐρᾷ· ἐγὼ δὲ τοῦ νόμου κελεύοντος ἐξεῖναι πολεμάρχῳ λαβεῖν, εἴ τις δοκεῖ ἄξια θανάτου ποιεῖν, λαμβάνω τουτονὶ Ἰσμηνίαν ὡς πολεμοποιοῦντα. καὶ ὑμεῖς δὲ οἱ λοχαγοί τε καὶ οἱ μετὰ τούτων τεταγμένοι ἀνίστασθε καὶ λαβόντες ἀπάγετε τοῦτον ἔνθα εἴρηται.
31 οἱ μὲν δὴ εἰδότες τὸ πρᾶγμα παρῆσάν τε καὶ ἐπείθοντο καὶ συνελάμβανον· τῶν δὲ μὴ εἰδότων, ἐναντίων δὲ ὄντων τοῖς περὶ Λεοντιάδην, οἱ μὲν ἔφευγον εὐθὺς ἔξω τῆς πόλεως, δείσαντες μὴ ἀποθάνοιεν, οἱ δὲ καὶ οἴκαδε πρῶτον ἀπεχώρησαν· ἐπεὶ δὲ εἰργμένον τὸν Ἰσμηνίαν ᾔσθοντο ἐν τῇ Καδμείᾳ, τότε δὴ ἀπεχώρησαν εἰς τὰς Ἀθήνας οἱ ταὐτὰ γιγνώσκοντες Ἀνδροκλείδᾳ τε καὶ Ἰσμηνίᾳ
32 μάλιστα τριακόσιοι. ὡς δὲ ταῦτ᾽ ἐπέπρακτο, πολέμαρχον μὲν ἀντὶ Ἰσμηνίου ἄλλον εἵλοντο, ὁ δὲ Λεοντιάδης εὐθὺς εἰς Λακεδαίμονα ἐπορεύετο. εὗρε δ᾽ ἐκεῖ τοὺς μὲν ἐφόρους καὶ τῆς πόλεως τὸ πλῆθος χαλεπῶς ἔχοντας τῷ Φοιβίδᾳ, ὅτι οὐ προσταχθέντα ὑπὸ τῆς πόλεως ταῦτα ἐπεπράχει· ὁ μέντοι Ἀγησίλαος ἔλεγεν, ὅτι, εἰ μὲν βλαβερὰ τῇ Λακεδαίμονι πεπραχὼς εἴη, δίκαιος εἴη ζημιοῦσθαι· εἰ δὲ ἀγαθά, ἀρχαῖον εἶναι νόμιμον ἐξεῖναι τὰ τοιαῦτα αὐτοσχεδιάζειν. αὐτὸ οὖν τοῦτ᾽, ἔφη, προσήκει σκοπεῖν, πότερον

---

30. *ὅστις ἐρᾷ*] vgl. zu 1, 31. — *εἴ τις*] = *ἕκαστον ὅστις*. — *λαμβάνω*] = *συλλαμβάνω*. — *τουτονί*] deiktisch „*hunccе*". — *πολεμοποιοῦντα*] sachlich erklärt durch § 35. — *καὶ ... δέ*] vgl. 1, 11. — *ἔνθα εἴρηται*] *ἐκεῖσε ἔνθα κατέχειν νόμῳ εἴρηται* = *εἰς τὸ δεσμωτήριον*; vgl. II, 3, 54 *οὗ δεῖ*.

31. *τὸ πρᾶγμα*] „den Staatsstreich" des Leont. — *παρῆσαν*] *iam praesto erant*, begründet durch *εἰδότες*. — *τῶν δὲ μὴ εἰδότων*] hypoth. verallgemeinert „von allen, welche ...". — *ἐν τῇ Καδμείᾳ*] d. h. in den Händen der Spartaner. — *γιγνώσκοντες*] von der Gesinnung wie III, 5, 6. Analog *ἤπια εἰδέναι* bei Homer; vgl. auch *γνώμη*. — *Ἀνδροκλείδᾳ*] der 395 v. Chr. durch persisches Gold bestochen war, vgl. III, 5, 1. — *μάλιστα*] bei Zahlen „nahezu". — *τριακόσιοι*] umfafst die Summe der *οἱ μὲν ... οἱ δέ*.

32. *ἄλλον*] aus V, 4, 2 ergiebt sich, dafs es Archias war. — *οὐ προσταχθέντα*] Die Beziehung der Negation ergiebt sich aus der Stellung. Das Particip hat konzessiven Sinn. — *ὁ μέντοι*] Gegens. *τοὺς μέν*. — *ἔλεγε*] „führte aus", vor den Behörden. — *πεπραχὼς εἴη*] Das Perf. zur Hervorhebung des Resultats; sonst vertritt in hypothetischen Vordersätzen Konj. u. Opt. Aorist. die perfektive Handlung. — *δίκαιος εἴη*] hypoth. Nachsatz ohne *ἄν* als Opt. Or. obl. für den Indik. realis. — *νόμιμον*] substantivisch „Herkommen". — *αὐτοσχεδιάζειν*] *sua sponte agere;* vgl.

ἀγαθὰ ἢ κακά ἐστι τὰ πεπραγμένα. ἔπειτα μέντοι ὁ Λεοντιάδης 33
ἐλθὼν εἰς τοὺς ἐκκλήτους ἔλεγε τοιάδε· Ἄνδρες Λακεδαιμόνιοι, ὡς
μὲν πολεμικῶς ὑμῖν εἶχον οἱ Θηβαῖοι, πρὶν τὰ νῦν πεπραγμένα
γενέσθαι, καὶ ὑμεῖς ἐλέγετε· ἑωρᾶτε γὰρ ἀεὶ τούτους τοῖς μὲν
ὑμετέροις δυσμενέσι φιλικῶς ἔχοντας, τοῖς δ' ὑμετέροις φίλοις
ἐχθροὺς ὄντας. οὐκ ἐπὶ μὲν τὸν ἐν Πειραιεῖ δῆμον, πολεμιώτατον
ὄντα ὑμῖν, οὐκ ἠθέλησαν συστρατεύειν; Φωκεῦσι δὲ ὅτι ὑμᾶς εὐ-
μενεῖς ὄντας ἑώρων, ἐπεστράτευον; ἀλλὰ μὴν καὶ πρὸς Ὀλυνθίους 34
εἰδότες ὑμᾶς πόλεμον ἐκφέροντας συμμαχίαν ἐποιοῦντο, καὶ ὑμεῖς
γε τότε μὲν ἀεὶ προσείχετε τὸν νοῦν, πότε ἀκούσεσθε βιαζομένους
αὐτοὺς τὴν Βοιωτίαν ὑφ' αὑτοῖς εἶναι· νῦν δ' ἐπεὶ τάδε πέπρα-
κται, οὐδὲν ὑμᾶς δεῖ Θηβαίους φοβεῖσθαι· ἀλλ' ἀρκέσει ὑμῖν μικρὰ
σκυτάλη ὥστ' ἐκεῖθεν πάντα ὑπηρετεῖσθαι ὅσων ἂν δέησθε, ἐὰν
ὥσπερ ἡμεῖς ὑμῶν, οὕτω καὶ ὑμεῖς ἡμῶν ἐπιμελῆσθε. ἀκούουσι 35
ταῦτα τοῖς Λακεδαιμονίοις ἔδοξε τήν τε ἀκρόπολιν ὥσπερ κατεί-

---

„suo privato fecit consilio“ C. Nepos. Vom ersten Infin. hängt der zweite, von diesem der dritte ab. — *αὐτὸ τοῦτο*] *id ipsum* „nur das“. — *ἀγαθὰ ... κακά*] = *συμφέροντα ... βλαβερά*.

33. *ἐκκλήτους*] *ἐκκλησίαν*. — *ἐλέγετε*] iterativ. — *δυσμενέσι*] substantivisch, daher mit Possessiv; vgl. § 32 *ἀρχαῖον νόμιμον*. — *οὐκ ... οὐκ*] Die reine Negation *οὐ* (*μή*) steht, wenn sie anderen Negationen nachfolgt, nicht abundierend, sondern hebt letztere auf; hier steht das erste *οὐκ* fragend = *οὐκοῦν nonne;* das zweite gehört zu *ἠθέλησαν* = *recusare*. — *τὸν ἐν Πειραιεῖ δῆμον*] die demokratische Partei unter Thrasybul 403 v. Chr.; vgl. II, 4, 30. — *συστρατεύειν*] *μεθ' ὑμῶν*. — *Φωκεῦσι δὲ ... ἐπεστράτευον*] auch hierzu gehört das fragende *οὐκ*; dieser letzte Satz (*δέ*) erweist das *ἐχθροὺς ὄντας*, wie der vorige (*μέν*) das *φιλικῶς ἔχοντας*. — *Φωκεῦσι*] Dat. mit doppelter Beziehung; zur Sache vgl. III, 5, 4. 395 v. Chr.

34. *ἀλλὰ μήν*] wie § 17. — *π. ἐκφέροντες*] *b. inferentes* T. de conatu. — *ἐποιοῦντο*] T. de conatu. — *τότε ἀεί*] Gegens. *πρότερον μέν ... νῦν δέ*. — *προσείχετε ν.*] mit Besorgnis. — *ὑφ' αὑτοῖς*] unterthan. — *τάδε*] *ἡ κατάληψις τῆς Καδμείας*. — *σκυτάλη*] Lederstab mit Geheimschrift. Etymolog. *σκύτον, σκῦτος, scutum*, Schuh. Die Ephoren bedienten sich eines um einen Stab gewickelten Riemens, um darauf ihre geheimen Depeschen niederzuschreiben; diese Schrift konnte nur der Feldherr lesen, welcher sich im Besitze eines Stabes von gleicher Länge und Form befand und an ihm den abgezogenen Lederstreifen wieder aufwickelte, vgl. III, 3, 8. — *ἐκεῖθεν*] = *ὑπ' ἐκείνων*, d. i. *τῶν Θηβαίων*. — *ὑπηρετεῖσθαι*] *ὑμῖν*, erwartete Folge. — *ὥσπερ ἡμεῖς*] *ἐπιμελούμεθα*; die Partei des Leontiades.

35. *κατείληπτο*] Das Tempus be-

ληπτο φυλάττειν καὶ Ἰσμηνίᾳ κρίσιν ποιῆσαι. ἐκ δὲ τούτου πέμπουσι δικαστὰς Λακεδαιμονίων μὲν τρεῖς, ἀπὸ δὲ τῶν συμμαχίδων ἕνα ἀφ' ἑκάστης καὶ μικρᾶς καὶ μεγάλης πόλεως. ἐπεὶ δὲ συνεκαθέζετο τὸ δικαστήριον, τότε δὴ κατηγορεῖτο τοῦ Ἰσμηνίου, καὶ ὡς βαρβαρίζοι καὶ ὡς ξένος τῷ Πέρσῃ ἐπ' οὐδενὶ ἀγαθῷ τῆς Ἑλλάδος γεγενημένος εἴη καὶ ὡς τῶν παρὰ βασιλέως χρημάτων μετειληφὼς εἴη καὶ ὅτι τῆς ἐν τῇ Ἑλλάδι ταραχῆς πάσης ἐκεῖνός
36 τε καὶ Ἀνδροκλείδας αἰτιώτατοι εἶεν. ὁ δὲ ἀπελογεῖτο μὲν πρὸς πάντα ταῦτα, οὐ μέντοι ἔπειθέ γε τὸ μὴ οὐ μεγαλοπράγμων τε καὶ κακοπράγμων εἶναι. καὶ ἐκεῖνος μὲν κατεψηφίσθη καὶ ἀποθνήσκει· οἱ δὲ περὶ Λεοντιάδην εἶχόν τε τὴν πόλιν καὶ τοῖς Λα-
37 κεδαιμονίοις ἔτι πλείω ὑπηρέτουν ἢ προσετάττετο αὐτοῖς. τούτων δὴ πεπραγμένων οἱ Λακεδαιμόνιοι πολὺ δὴ προθυμότερον τὴν εἰς τὴν Ὄλυνθον στρατιὰν συναπέστελλον*. καὶ ἐκπέμπουσι Τελευτίαν μὲν ἁρμοστήν, τὴν δ' εἰς τοὺς μυρίους σύνταξιν αὐτοί τε ἄραντες συνεξέπεμπον καὶ εἰς τὰς συμμαχίδας πόλεις σκυτάλας διέπεμπον κελεύοντες ἀκολουθεῖν Τελευτίᾳ κατὰ τὸ δόγμα τῶν συμμάχων. καὶ οἵ τε ἄλλοι προθύμως τῷ Τελευτίᾳ ὑπηρέτουν, — καὶ γὰρ οὐκ ἀχάριστος ἐδόκει εἶναι τοῖς ὑπουργοῦσί τι, —

---

zeichnet das fait accompli. — *κρίσιν π.*] Prozefs machen. — *καὶ μικρᾶς καὶ μεγάλης*] d. i. ohne Unterschied. — *κατηγορεῖτο*] unpersönliche Konstr. — *ὡς ... ὅτι*] ersteres subjektiv betrachtend, letzteres thatsächlich feststellend. — *βαρβαρίζοι*] gehässiger als *μηδίζοι*. — *ἐπ' οὐδενὶ ἀγ.*] Bezeichnung des Zweckes, eigentlich „wo es sich handelt um". — *χρημάτων*] vgl. § 31 und III, 5, 1.

36. *μέντοι ... γε*] Gegens. zu *μέν*, „davon wenigstens", wie § 32. — *ἔπειθε*] modifiziertes Temp. de conatu „wufste z. überz.". — *τὸ ... εἶναι*] der substantiv. Objektsinfinitiv statt des sonst üblichen *ὡς* c. Indik. resp. Opt. — *μὴ οὐ*] „dafs nicht"; diese Doppelnegation wird wie das lat. *quin* negativ übersetzt nach einfach regiertem Verb. *regens*, dagegen affirmativ nach doppelt negativem Ausdruck. — *ἀποθνήσκει*] gerichtlicher Terminus mit passivem Sinne. — *εἶχον*] *ὑφ' ἑαυτοῖς*.

37. *συναπέστελλον*] im Bunde mit den Akanthiern; vgl. § 23. *ἀποστέλλω* „abordnen", bestimmter als *ἐκπέμπω*. — *τὴν στρατιάν*] das Gros des 10000 betragenden Gesamtheeres, von welchem erst 2000 ausgerückt waren; vgl. § 20. 24. — *τὴν ... σύνταξιν*] übersetze als Accus. der Beziehung zu den beiden folgenden Sätzen; „was ... anbetrifft". — *ἄραντες*] *τὸν στόλον* „ausrücken lassen, ausheben". Gegensatz *κελεύοντες ἀκολουθεῖν*. — *σκυτάλας*] vgl. § 34. — *οὐκ ἀχάριστος*] Litotes mit rhetor. Verstärkung des Begriffs. — *ἐδόκει*] „stand im Rufe". —

*καὶ ἡ τῶν Θηβαίων δὲ πόλις, ἅτε καὶ Ἀγησιλάου ὄντος αὐτῷ
ἀδελφοῦ, προθύμως συνέπεμψε καὶ ὁπλίτας καὶ ἱππέας. ὁ δὲ* 38
*σπεύδων μὲν οὐ μάλα ἐπορεύετο, ἐπιμελόμενος δὲ τοῦ τε μὴ ἀδι-
κῶν τοὺς φίλους πορεύεσθαι καὶ τοῦ ὡς πλείστην δύναμιν ἀθροί-
ζειν. προέπεμπε δὲ καὶ πρὸς Ἀμύνταν καὶ ἠξίου αὐτὸν καὶ
ξένους μισθοῦσθαι καὶ τοῖς πλησίον βασιλεῦσι χρήματα διδόναι,
ὡς συμμάχους εἶναι, εἴπερ βούλοιτο τὴν ἀρχὴν ἀναλαβεῖν. ἔπεμπε
δὲ καὶ πρὸς Δέρδαν, τὸν Ἐλιμίας ἄρχοντα, διδάσκων, ὅτι οἱ
Ὀλύνθιοι κατεστραμμένοι τὴν μείζω δύναμιν Μακεδονίας εἶεν καὶ
οὐκ ἀνήσουσι τὴν ἐλάττω, εἰ μή τις αὐτοὺς παύσει τῆς ὕβρεως.
ταῦτα δὲ ποιῶν μάλα πολλὴν ἔχων στρατιὰν ἀφίκετο εἰς τὴν* 39
*ἑαυτῶν συμμαχίδα. ἐπεὶ δ' ἦλθεν εἰς τὴν Ποτίδαιαν, ἐκεῖθεν
συνταξάμενος ἐπορεύετο εἰς τὴν πολεμίαν. καὶ πρὸς μὲν τὴν
πόλιν ἰὼν οὔτ' ἔκαεν οὔτ' ἔκοπτε, νομίζων, εἴ τι ποιήσειε τούτων,
ἐμποδὼν ἂν αὐτῷ πάντα γίγνεσθαι καὶ προσιόντι καὶ ἀπιόντι·
ὁπότε δὲ ἀναχωροίη ἀπὸ τῆς πόλεως, τότε ὀρθῶς ἔχειν κόπτοντα
τὰ δένδρα ἐμποδὼν καταβάλλειν, εἴ τις ὄπισθεν ἐπίοι. ὡς δὲ* 40
ἀπεῖχεν ἀπὸ τῆς πόλεως οὐδὲ δέκα στάδια, ἔθετο τὰ ὅπλα, εὐώ-

καὶ ... δέ] Leichtes Anakoluth, wobei *δέ* wie gewöhnlich nach *καί* = „auch" kopulativ steht und hier mit dem *οἵ τε ἄλλοι* korrespondiert. — *Ἀγησιλάου*] an dem die herrschende Partei in Theben ihre Stütze hatte.

38. *οὐ μάλα*] „nicht eben sehr" gehört zu *σπεύδων*. — *ἀθροίζειν*] Offenbar zog Teleutias hier das Kontingent der Thebaner und den gröſsten Teil der Truppen des Phöbidas aus Theben an sich. — *Ἀμύνταν*] vgl. § 12. — *ἠξίου*] vgl. 1, 32. — *μισθοῦσθαι*] sich vermieten lassen *conducere*, Med. zu *μισθοῦν locare*. — *ὡς ... εἶναι*] = *ὥστε*, *ἐφ' ᾧτε* mit Infin. — *εἴπερ βούλοιτο*] Bedingung zu *ἠξίου μισθοῦσθαι*. — *ἀναλαβεῖν*] *recuperare*. — *Ἐλιμία*] Südw. Landschaft von Macedonien. — *διδάσκων*] Part. de conatu, final zu übersetzen. — *ἀνήσουσι*] Moduswechsel nach *εἶεν*. — *ἀνιέναι*] „verzichten".

39. *ἑαυτῶν*] komplexiv „sein und der Seinen", d. i. der Laced. — *συμμαχίδα*] *χώραν*, d. i. *Ποτιδαίας*, vgl. § 24. — *συνταξάμενος*] „schlagfertig". — *τὴν πόλιν*] *Ὄλυνθον*. — *ὁπότε ... ἀναχωροίη*] nicht iterativ sondern *τότε ὅτε*. *ἀπιόντι* bezeichnet den Rückzug, welchen event. die bereits vorliegenden Hindernisse erschweren würden, *ἀναχωροίη* den Rückzug, welcher die Hindernisse hinter sich für den Verfolger erst schaffen will, vgl. § 43 *ἀπιὼν δή*. — *ἐμποδὼν καταβάλλειν*] sc. *τούτῳ ὅστις* = *εἴ τις*. *ἐμποδὼν* wie mit *ποιεῖσθαι* verbunden = *ὥστε ἐμποδὼν εἶναι*.

40. *πόλεως*] Olynth. — *ἔθετο*] *substitit aciem instructurus*. — *οὕτω*] *ἐν τῷ εὐωνύμῳ*, während sonst der

νυμον μὲν αὐτὸς ἔχων, — οὕτω γὰρ συνέβαινεν αὐτῷ κατὰ τὰς πύλας ἰέναι ᾗ ἐξῄεσαν οἱ πολέμιοι —, ἡ δὲ ἄλλη φάλαγξ τῶν συμμάχων ἀπετέτατο πρὸς τὸ δεξιόν. καὶ τῶν ἱππέων δὲ τοὺς μὲν Λάκωνας καὶ τοὺς Θηβαίους καὶ ὅσοι τῶν Μακεδόνων παρῆσαν ἐπὶ τῷ δεξιῷ ἐτάξατο, παρὰ δὲ αὐτῷ εἶχε Δέρδαν τε καὶ τοὺς ἐκείνου ἱππέας ὡς εἰς τετρακοσίους διά τε τὸ ἄγασθαι τοῦτο τὸ ἱππικὸν καὶ διὰ τὸ θεραπεύειν τὸν Δέρδαν, ὡς ἡδόμενος
41 παρείη. ἐπεὶ δὲ καὶ οἱ πολέμιοι ἐλθόντες ἀντιπαρετάξαντο ὑπὸ τῷ τείχει, συσπειραθέντες αὐτῶν οἱ ἱππεῖς ἐμβάλλουσι κατὰ τοὺς Λάκωνας καὶ Βοιωτούς. καὶ Πολύχαρμόν τε τὸν Λακεδαιμόνιον ἵππαρχον καταβάλλουσιν ἀπὸ τοῦ ἵππου καὶ κείμενον πάμπολλα κατέτρωσαν καὶ ἄλλους ἀπέκτειναν καὶ τέλος τρέπονται τὸ ἐπὶ τῷ δεξιῷ κέρατι ἱππικόν. φευγόντων δὲ τῶν ἱππέων ἐνέκλινε καὶ τὸ ἐχόμενον πεζὸν αὐτῶν καὶ ὅλον δ᾽ ἂν ἐκινδύνευσεν ἡττηθῆναι τὸ στράτευμα, εἰ μὴ Δέρδας ἔχων τὸ ἑαυτοῦ ἱππικὸν εὐθὺς πρὸς τὰς πύλας τῶν Ὀλυνθίων ἤλασεν. ἐπῄει δὲ καὶ ὁ Τελευ-
42 τίας σὺν τοῖς περὶ ἑαυτὸν ἐν τάξει. ὡς δὲ ταῦτα ᾔσθοντο οἱ Ὀλύνθιοι ἱππεῖς, δείσαντες, μὴ ἀποκλεισθεῖεν τῶν πυλῶν, ἀναστρέψαντες ἀπεχώρουν πολλῇ σπουδῇ. ἔνθα δὴ ὁ Δέρδας παρελαύνοντας παμπόλλους αὐτῶν ἀπέκτεινεν. ἀπεχώρησαν δὲ καὶ οἱ πεζοὶ τῶν Ὀλυνθίων εἰς τὴν πόλιν· οὐ μέντοι πολλοὶ αὐτῶν ἀπέ-
43 θανον, ἅτε ἐγγὺς τοῦ τείχους ὄντος. ἐπεὶ δὲ τρόπαιόν τε ἐστάθη καὶ ἡ νίκη αὕτη τῷ Τελευτίᾳ ἐγεγένητο, ἀπιὼν δὴ ἔκοπτε τὰ δένδρα. καὶ τοῦτο μὲν στρατευσάμενος τὸ θέρος διῆκε καὶ τὸ Μακεδονικὸν στράτευμα καὶ τὸ τοῦ Δέρδα· πολλάκις μέντοι καὶ

Anführer gewöhnlich auf dem rechten Flügel stand. — *κατά*] gegenüber. — *ἡ δὲ ... ἀπετέτατο*] anakoluth. Übergang aus der Participialkonstruktion *μὲν ἔχων* in das Verb. finitum; im D. „während". — *καὶ ... δέ*] vgl. 1, 11, gemeinsamer Begriff *δεξιόν*. — *ὡς εἰς*] „ungefähr gegen". — *ὡς ... παρείη*] final. — *ἡδόμενος*] = *ἡδέως*.

41. *συσπειραθέντες*] „dicht zusammengedrängt"; Grundbedeutung von *σπειράω* „winden". — *ἐμβάλλουσιν*] „sich werfen auf". — *καταβάλλουσιν*] „aus dem Sattel heben". — *τρέπονται*] Med. im Sinne von *ἐτρέψαντο*. — *αὐτῶν*] verb. mit *ἐχόμενον*. — *ὅλον*] prädikativ wie *πᾶν*, ist auch prädikativ zu übersetzen. — *δὲ καί*] statt *καὶ ... δέ*, weil *ἐπῄει* vorangeht. — *ἐν τάξει*] gehört zum Verb.

42. *δείσαντες*] ingressiv. — *παρελαύνοντας*] *praetervehi*, sc. *ἀναστρέψαντας*. — *μέντοι*] zum Gegens. von *ἱππεῖς*.

43. *ἀπιὼν δή*] „da erst". — *θέρος*] Kasus der Zeitdauer. — *καὶ οἱ Ὀλύν-*

οἱ Ὀλύνθιοι καταθέοντες εἰς τὰς τῶν Λακεδαιμονίων συμμαχίδας
πόλεις ἐλεηλάτουν καὶ ἄνδρας ἀπεκτίννυον.
Ἅμα δὲ τῷ ἦρι ὑποφαινομένῳ οἱ μὲν Ὀλύνθιοι ἱππεῖς* 3
ὄντες ὡς ἑξακόσιοι κατεδεδραμήκεσαν εἰς τὴν Ἀπολλωνίαν ἅμα
μεσημβρίᾳ καὶ διεσπαρμένοι ἐλεηλάτουν· ὁ δὲ Δέρδας ἐτύγχανε
ταύτῃ τῇ ἡμέρᾳ ἀφιγμένος μετὰ τῶν ἱππέων τῶν ἑαυτοῦ καὶ
ἀριστοποιούμενος ἐν τῇ Ἀπολλωνίᾳ. ὡς δ' εἶδε τὴν καταδρομήν,
ἡσυχίαν εἶχε, τούς θ' ἵππους ἐπεσκευασμένους καὶ τοὺς ἀμβάτας
ἐξωπλισμένους ἔχων. ἐπειδὴ δὲ καταφρονητικῶς οἱ Ὀλύνθιοι καὶ
εἰς τὸ προάστειον καὶ εἰς αὐτὰς τὰς πύλας ἤλαυνον, τότε δὴ συν-
τεταγμένους ἔχων ἐξελαύνει. οἱ δὲ ὡς εἶδον, εἰς φυγὴν ὥρμησαν. 2
ὁ δ' ὡς ἅπαξ ἐτρέψατο, οὐκ ἀνῆκεν ἐνενήκοντα στάδια διώκων
καὶ ἀποκτιννύς, ἕως πρὸς αὐτὸ κατεδίωξε τῶν Ὀλυνθίων τὸ τεῖχος.
καὶ ἐλέγετο ὁ Δέρδας ἀποκτεῖναι ἐν τούτῳ τῷ ἔργῳ περὶ ὀγδοή-
κοντα ἱππέας. καὶ ἀπὸ τούτου τειχήρεις τε μᾶλλον ἦσαν οἱ πο-
λέμιοι καὶ τῆς χώρας ὀλίγην παντελῶς εἰργάζοντο. προϊόντος δὲ 3
τοῦ χρόνου καὶ τοῦ Τελευτίου ἐστρατευμένου πρὸς τὴν τῶν Ὀλυν-
θίων πόλιν, ὡς εἴ τι δένδρον ὑπόλοιπον ἢ τι εἰργασμένον τοῖς

θιοι] Gegens. *ὁ Τελευτίας.* — *καταθέοντας*] *excursiones facere.*

Kap. 3. § 1/7: Unbesonnenheit und Tod des Teleutias (381 v. Chr.). Absendung eines neuen Heeres unter Agesipolis gegen Olynth (381). — § 10/17: Feldzug des Agesilaos gegen Phlius. Einschliefsung der Stadt (381). — § 18/20: Tod des Agesipolis (380). — § 21/25: Ende des Feldzugs gegen Phlius (379). — § 26/27: Unterwerfung von Olynth. Höhepunkt der Macht Lacedämons.

1. *ὑποφαινομένῳ*] gewöhnlich steht sonst das Aktivum absolut. — *κατεδεδραμήκεσαν*] vgl. 2, 42 *καταθέοντας.* Das Plusquamperf. steht prägnant; „sie waren auf einem Streifzuge begriffen", wozu man ergänze *καὶ παρεγένοντο εἰς τ. Ἀ. ἅμα μεσημβρίᾳ* „und w. z. M. vor A. eingetroffen". — *ταύτῃ τῇ ἡμέρᾳ*] vgl. 2, 2. — *ἐπεσκευασμένους*] „gesattelt und gezäumt". — *ἀμβάτας*] = *ἀναβάτας.* Dorische Apokope mit Assimilation.

2. *ἐτρέψατο*] erg. das Objekt aus *ὥρμησαν.* — *ἀνῆκεν*] konstruiere wie *παύεσθαι*; anders 2, 38. — *ἔργῳ*] Metonym. für *μάχῃ.* — *οἱ πολέμιοι*] *τῶν Λακεδαιμονίων* = *Ὀλύνθιοι.* — *τῆς χώρας ὀλίγην*] = *τ. χ. ὀλίγον μέρος,* übliche Assimilation des Attributs. — *παντελῶς*] postpositiv zu *ὀλίγην.* — *εἰργάζοντο*] T. de conatu „wagten z. b.".

3. *καὶ τοῦ Τελ.*] ***etiam Tel.***; das erste Partic. ist dem zweiten subord. — *ὡς φθείροι*] welche Satzart? — *εἴ τι*] = *ὅ,τι,* wie *si quid* = *quidquid.* — *εἰργασμένον*] vgl. 2 *ὀλίγην χώρας.* —

πολεμίοις φθείροι, ἐξελθόντες οἱ Ὀλύνθιοι ἱππεῖς ἥσυχοι πορευόμενοι διέβησαν τὸν παρὰ τὴν πόλιν ῥέοντα ποταμὸν καὶ ἐπορεύοντο ἡσυχῇ πρὸς τὸ ἐναντίον στράτευμα. ὡς δ' εἶδεν ὁ Τελευτίας, ἀγανακτήσας τῇ τόλμῃ αὐτῶν εὐθὺς Τλημονίδαν τὸν τῶν πελτα-
4 στῶν ἄρχοντα δρόμῳ φέρεσθαι εἰς αὐτοὺς ἐκέλευσεν. οἱ δὲ Ὀλύνθιοι ὡς εἶδον προθέοντας τοὺς πελταστάς, ἀναστρέψαντες ἀπεχώρουν ἥσυχοι καὶ διέβησαν πάλιν τὸν ποταμόν. οἱ δ' ἠκολούθουν μάλα θρασέως καὶ ὡς φεύγουσι διώξαντες ἐπιδιέβαινον. ἔνθα δὴ οἱ Ὀλύνθιοι ἱππεῖς, ἡνίκα ἔτι εὐχείρωτοι αὐτοῖς ἐδόκουν εἶναι οἱ διαβεβηκότες, ἀναστρέψαντες ἐμβάλλουσιν αὐτοῖς καὶ αὐτόν τε ἀπέκτειναν τὸν Τλημονίδαν καὶ τῶν ἄλλων πλείους ἢ ἑκατόν. ὁ
5 δὲ Τελευτίας ὡς εἶδε τὸ γιγνόμενον, ὀργισθεὶς ἀναλαβὼν τὰ ὅπλα ἦγε μὲν ταχὺ τοὺς ὁπλίτας, διώκειν δὲ καὶ τοὺς πελταστὰς ἐκέλευε καὶ τοὺς ἱππέας καὶ μὴ ἀνιέναι. πολλοὶ μὲν δὴ καὶ ἄλλοι τοῦ καιροῦ ἐγγυτέρω τείχους διώξαντες κακῶς ἀπεχώρησαν, καὶ ἐκεῖνοι δ' ἐπεὶ ἀπὸ τῶν πύργων ἐβάλλοντο, ἀποχωρεῖν τε ἠναγκά-
6 ζοντο τεθορυβημένως καὶ προφυλάττεσθαι τὰ βέλη. ἐν τούτῳ δὴ οἱ Ὀλύνθιοι ἐπεξελαύνουσι μὲν τοὺς ἱππεῖς, ἐβοήθουν δὲ καὶ οἱ πελτασταί· τέλος δὲ καὶ οἱ ὁπλῖται ἐπεξέθεον καὶ τεταραγμένῃ τῇ φάλαγγι προσπίπτουσιν. καὶ ὁ μὲν Τελευτίας ἐνταῦθα μαχόμενος ἀποθνήσκει. τούτου δὲ γενομένου εὐθὺς καὶ οἱ ἀμφ' αὐτὸν ἐνέκλιναν καὶ οὐδεὶς ἔτι ἵστατο, ἀλλὰ πάντες ἔφευγον, οἱ μὲν ἐπὶ

ἥσυχοι ... ἡσυχῇ] Kontrast gegen die getadelte Leidenschaftlichkeit des Teleutias, εὐθὺς δρόμῳ und § 4 μάλα θρασέως. — ἐναντίον] räumlich.

4. οἱ δ'] πελτασταί. — ὡς φεύγουσι] Part. im subjektiv kausalen Sinn; der Kasus abhängig von ἐπιδιέβαινον = ἐπιτιθέμενοι διέβαινον. — διώξαντες] P. explicativum, „dadurch, dafs“, d. i. infolge der nunmehr begonnenen Verfolgung; Steigerung für ἠκολούθουν. — ἡνίκα] gerade in dem Zeitpunkte, wo ... — ἔτι εὐχείρωτοι] rücksichtlich der Zahl und Unordnung der διαβεβηκότες; ἔτι, d. i. ehe eine Abwehr unmöglich wurde.

5. καὶ τοὺς πελταστάς] auch d. P., welche ja geschlagen und ohne Führer waren. — ἀνιέναι] διώκοντας. — πολλοὶ ... ἄλλοι] τῶν ἀνθρώπων mit dem Aor. des Erfahrungssatzes. — τοῦ καιροῦ] = ἢ καιρός ἦν *quam par erat*; vgl. *opinione maior*; Vergleich bezüglich eines Prädikates, vgl. II, 3, 24. — κακῶς] „übel zugerichtet“. — καὶ ἐκεῖνοι δέ] „und so auch jene“, d. i. Tel. u. d. S. — τείχους] „Stadtmauer“, abhängig von dem lokalen Adverb ἐγγυτέρω.

6. ἐπεξελαύνουσι] hier nicht absolut wie sonst gewöhnlich. — τεταραγμένῃ] prädikativ, weil kausal zum Prädikat. — ἵστατο] „hielt stand“. — ἐπὶ

Σπαρτώλου, οἱ δὲ ἐπὶ Ἀκάνθου, οἱ δὲ εἰς Ἀπολλωνίαν, οἱ πλεῖστοι δὲ εἰς Ποτίδαιαν. ὡς δ' ἄλλος ἄλλῃ ἔφευγον, οὕτω καὶ οἱ πολέμιοι ἄλλος ἄλλοσε διώκοντες παμπληθεῖς ἀπέκτειναν ἀνθρώπους καὶ ὅ,τιπερ ὄφελος ἦν τοῦ στρατεύματος.

Ἐκ μέντοι γε τῶν τοιούτων παθῶν ἐγώ φημι ἀνθρώπους 7 *παιδεύεσθαι μάλιστα μὲν οὖν, ὡς οὐδ' οἰκέτας χρὴ ὀργῇ κολάζειν· πολλάκις γὰρ καὶ δεσπόται ὀργιζόμενοι μείζω κακὰ ἔπαθον ἢ ἐποίησαν· ἀτὰρ ἀντιπάλοις τὸ μετ' ὀργῆς ἀλλὰ μὴ γνώμῃ προσφέρεσθαι ὅλον ἁμάρτημα. ἡ μὲν γὰρ ὀργὴ ἀπρονόητον, ἡ δὲ γνώμη σκοπεῖ οὐδὲν ἧττον, μή τι πάθῃ, ἢ ὅπως βλάψῃ τι τοὺς πολεμίους.*

Τοῖς δ' οὖν Λακεδαιμονίοις, ἐπεὶ ἤκουσαν τὸ πρᾶγμα, βου- 8 *λευομένοις ἐδόκει οὐ φαύλην πεμπτέον δύναμιν εἶναι, ὅπως τό τε φρόνημα τῶν νενικηκότων κατασβεσθείη καὶ μὴ μάτην τὰ πεποιημένα γένοιτο. οὕτω δὴ γνόντες ἡγεμόνα μὲν Ἀγησίπολιν τὸν βασιλέα ἐκπέμπουσι, μετ' αὐτοῦ δὲ ὥσπερ Ἀγησιλάου εἰς τὴν Ἀσίαν τριάκοντα Σπαρτιατῶν. πολλοὶ δὲ αὐτῷ καὶ τῶν περιοίκων ἐθε-* 9 *λονταὶ καλοὶ κἀγαθοὶ ἠκολούθουν καὶ ξένοι τῶν τροφίμων καλουμένων καὶ νόθοι τῶν Σπαρτιατῶν, μάλα εὐειδεῖς τε καὶ τῶν ἐν*

Σπαρτώλου] „dahin, wo Sp. liegt". Die vier Städte repräsentieren die vier Himmelsrichtungen von Olynth aus, Spartolos im W., Akanthos im O., Apollonia im N., Potidäa im S. — *καὶ ὅτιπερ*] „und darunter alles, was". — *ὄφελος*] „besonders kampftauglich", ***robur militum.***

7. *ἐκ … πολεμίους*] pragmatische Bemerkung. — *μάλιστα*] „am besten" zu *παιδεύεσθαι.* — *οὐ χρή*] = *χρὴ μή.* — *οἰκέτας*] Gegens. *δεσπόται.* — *ἔπαθον*] empirisches Tempus meist mit *πολλάκις,* lat. ***plerumque,*** verbunden, als Ausdruck einer relativ gültigen Wahrheit. — *ἀτάρ*] „aber vollends", poet. Formel. — *ἀλλὰ μή*] „und nicht vielmehr". — *γνώμῃ*] Gegensatz *μετ' ὀργῆς.* — *ὅλον*] „ganz und gar". — *ἁμάρτημα*] *ἐστίν.* — *ἀπρονόητον*] *τι;* hier mit aktiver Bedeutung „unbedachtsam".

8. *δ' οὖν*] ***igitur*** die praktische Folge der Lehre einleitend. — *πρᾶγμα*] metonym. verallgemeinert für „die Niederlage des T.". — *πεμπτέον εἶναι*] (Urteilssatz) statt *πέμψαι* (Begehrungssatz). — *φρόνημα*] vox media hier im Sinne von *μέγα φρ.* — *τὰ πεποιημένα*] „die erreichten Resultate". — *τριάκοντα*] *συμβούλους καὶ ἡγεμόνας,* vgl. III, 4, 2.

9. *περιοίκων*] Gegensatz *Σπαρτιατῶν.* — *ξένοι*] Gegensatz *πολῖται.* — *τροφίμων*] Gen. partit.; ausländische Zöglinge in Sparta, wie z. B. Xenophons Söhne. — *νόθοι*] nicht „unehelich", sondern „Söhne aus nicht ebenbürtigen Ehen"; mit Spartiaten zusammen erzogen hiefsen sie *μόθακες.* —

τῇ πόλει καλῶν οὐκ ἄπειροι. συνεστρατεύοντο δὲ καὶ ἐκ τῶν συμμαχίδων πόλεων ἐθελονταὶ καὶ Θετταλῶν γε ἱππεῖς, γνωσθῆναι τῷ Ἀγησιπόλιδι βουλόμενοι, καὶ Ἀμύντας δὲ καὶ Δέρδας ἔτι προθυμότερον ἢ πρόσθεν. Ἀγησίπολις μὲν δὴ ταῦτα πράττων ἐπορεύετο ἐπὶ τὴν Ὄλυνθον.

10 Ἡ δὲ τῶν Φλιασίων πόλις, ἐπαινεθεῖσα μὲν ὑπὸ τοῦ Ἀγησι-
πόλιδος, ὅτι πολλὰ καὶ ταχέως αὐτῷ χρήματα εἰς τὴν στρατιὰν
ἔδοσαν, νομίζουσα δ' ἔξω ὄντος Ἀγησιπόλιδος οὐκ ἂν ἐξελθεῖν
ἐπ' αὐτοὺς Ἀγησίλαον οὐδ' ἂν γενέσθαι ὥστε ἅμα ἀμφοτέρους
τοὺς βασιλέας ἔξω Σπάρτης εἶναι, θρασέως οὐδὲν τῶν δικαίων
ἐποίουν τοῖς κατεληλυθόσιν. οἱ μὲν γὰρ δὴ φυγάδες ἠξίουν τὰ
ἀμφίλογα ἐν ἴσῳ δικαστηρίῳ κρίνεσθαι· οἱ δὲ ἠνάγκαζον ἐν αὐτῇ
τῇ πόλει διαδικάζεσθαι. λεγόντων δὲ τῶν κατεληλυθότων καὶ τίς
αὕτη δίκη εἴη, ὅπου αὐτοὶ οἱ ἀδικοῦντες δικάζοιεν, οὐδὲν εἰσήκουον.
11 ἐκ τούτου μέντοι ἔρχονται εἰς Λακεδαίμονα οἱ κατελθόντες κατη-
γορήσοντες τῆς πόλεως, καὶ ἄλλοι δὲ τῶν οἴκοθεν συνηκολούθουν
λέγοντες, ὅτι πολλοῖς καὶ τῶν πολιτῶν οὐ δοκοῖεν δίκαια πάσχειν.
ἀγανακτήσασα δὲ τούτοις τῶν Φλιασίων ἡ πόλις ἐζημίωσε πάντας
12 ὅσοι μὴ πεμπούσης τῆς πόλεως ἦλθον εἰς Λακεδαίμονα. οἱ δὲ
ζημιωθέντες οἴκαδε μὲν ὤκνουν ἀπιέναι, μένοντες δ' ἐδίδασκον,

---

καλῶν] Vorzüge der freien Erziehung. — γνωσθῆναι] mit Dat. graec. *conspici*. — ταῦτα] Acc. d. Bez. = οὕτω in Verbindung mit dem intransitiv gebrauchten πράττων.

10. Φλιασίων] Fortsetzung der in 2, 10 abgebrochenen Darstellung. — καὶ ταχέως] *et quidem celeriter*, in der Stellung mit πολλά koordiniert, gehört zum Verb. — χρήματα] zur Sache vgl. 2, 21. — Ἀγησιπόλιδος] Agesipolis war dem Demos, Agesilaos den Oligarchen von Phlius gewogen. — γενέσθαι ὥστε] συμβῆναι „dahin kommen, daſs“. — θρασέως] „pflichtvergessen“. — τῶν δικαίων] „rechtliche Verpflichtungen“, begründet durch das 2, 10 erwähnte ψήφισμα. — ἐποίουν] Plur. Constr. ad sensum; hier nach Analogie von πράττω mit Dat. commodi verbunden. — δή] „natürlich“. — ἴσῳ] „unparteiisch“, Gegens. ἐν αὐτῇ τῇ πόλει. — λεγόντων ... καί] „unter anderem auch geltend machten“. — τίς] ποτε, rhetor. Tadelsfrage; daher ohne ἄν; εἴη Or. obl. statt ἐστίν. — αὕτη δίκη] ersteres Subjekt, letzteres Prädikat. — εἰσήκουον] οἱ ἐν δυνάμει ὄντες τῶν Φλιασίων.

11. τῆς πόλεως] τῶν ἐν δυνάμει ὄντων. — τῶν οἴκοθεν ... πολλοῖς καὶ τῶν πολιτῶν] die zahlreichen nicht selbst verbannt gewesenen Freunde der Verbannten; vgl. 2, 9 τῶν ἔνδοθεν. — τῶν οἴκοθεν] Attraktion zum Prädikat. — τούτοις] bezieht sich auf die voraufgehenden Handlungen.

12. μένοντες] in Sparta. — ἐδίδα-

ὡς οὗτοι μὲν εἴησαν οἱ βιαζόμενοι ταῦτα, οἵπερ σφᾶς τε ἐξέβαλον καὶ Λακεδαιμονίους ἀπέκλεισαν, οὗτοι δὲ οἱ πριάμενοί τε τὰ σφέτερα καὶ βιαζόμενοι μὴ ἀποδιδόναι, οὗτοι δὲ καὶ νῦν διαπεπραγμένοι εἰσὶ ζημιωθῆναι σφᾶς τοὺς εἰς Λακεδαίμονα ἐλθόντας, ὅπως τοῦ λοιποῦ μηδεὶς τολμῴη ἰέναι δηλώσων τὰ ἐν τῇ πόλει
γιγνόμενα. τῷ δ' ὄντι ὑβρίζειν δοκούντων τῶν Φλιασίων φρουρὰν 13
φαίνουσιν ἐπ' αὐτοὺς οἱ ἔφοροι. ἦν δὲ οὐδὲ τῷ Ἀγησιλάῳ ἀχθομένῳ ταῦτα· καὶ γὰρ τῷ μὲν πατρὶ αὐτοῦ Ἀρχιδάμῳ ξένοι ἦσαν οἱ περὶ Ποδάνεμον καὶ τότε τῶν κατεληλυθότων ἦσαν. αὐτῷ δὲ
οἱ ἀμφὶ Προκλέα τὸν Ἱππονίκου. ὡς δὲ τῶν διαβατηρίων γενο- 14
μένων οὐκ ἔμελλεν, ἀλλ' ἐπορεύετο, πολλαὶ πρεσβεῖαι ἀπήντων καὶ χρήματα ἐδίδοσαν, ὥστε μὴ ἐμβάλλειν. ὁ δὲ ἀπεκρίνατο, ὅτι οὐχ ἵνα ἀδικοίη, στρατεύοιτο, ἀλλ' ὅπως τοῖς ἀδικουμένοις βοη-
θήσειεν. οἱ δὲ τελευτῶντες πάντα ἔφασκον ποιήσειν ἐδέοντό τε 15
μὴ ἐμβάλλειν. ὁ δὲ πάλιν ἔλεγεν, ὡς οὐκ ἂν πιστεύσειε λόγοις, καὶ γὰρ τὸ πρότερον ψεύσασθαι αὐτούς, ἀλλ' ἔργου τινὸς πιστοῦ

σκον] T. de conatu. — οὗτοι μὲν ... οὗτοι δὲ ... δέ] Anaphora, eng zusammengehörig mit οἵπερ ἐξέβαλον ... ἀπέκλεισαν, bildet das Subjekt und drückt das weiter zurückliegende πρῶτον ψεῦδος aus, vgl. IV, 4, 15. V, 2, 8; 3, 11 αὐτοὶ οἱ ἀδικοῦντες; οὗτοι fast im Sinne von οἱ αὐτοί, οἵπερ. Das Prädikat zu diesem anaphorischen οὗτοι bilden drei Verba, welche dem früheren Unrecht die letzten Vergewaltigungen gegenüberstellen a) εἴησαν οἱ βιαζόμενοι, nämlich den Gerichtszwang § 10; b) οἱ πριάμενοι καὶ βιαζόμενοι μὴ ἀποδ., nämlich die Nichterfüllung § 10 der (2, 10) gestellten Forderung; c) καὶ νῦν διαπεπραγμένοι εἰσί = εἴησαν οἱ νῦν διαπεπραγμένοι, näml. die § 11 erwähnte Gewaltthat; der Artikel bezeichnet in a) und b) bestimmte Gruppen, fehlt aber in c). Sinn: „diejenigen, welche sie früher vertrieben etc., seien es auch, welche sie jetzt wieder (in drei Punkten) vergewaltigten". — τοῦ λοιποῦ] Genet. des Zeitraums „in Zukunft".

13. δοκούντων] τοῖς Λακεδαιμονίοις, Gen. absol. statt δοκοῦντας (ἐπ' αὐτούς) zur stärkeren Objektivierung; vgl. Cäsar: *obsidibus acceptis eos ... tradidit.* — φρουρὰν φαίνουσιν] vgl. 1, 36. — οὐ τῷ Ἀγησιλάῳ] Gegens. „wohl aber der Partei des Agesipolis". — ἀχθομένῳ ἦν] nach Analogie von βουλομένῳ ἦν, „gereichte zum Verdrufs". — οἱ ἀμφὶ Πρ.] ξένοι ἦσαν.

14. γενομένων] prägn. im Sinne von εὖ γ. — ἔμελλεν] πορεύεσθαι. — ἐδίδοσαν] „anbieten", T. de conatu. — ὥστε] = ἐφ' ᾧτε. — ἀδικοίη ... στρατεύοιτο] Opt. Or. obl. des Begehrungssatzes unmittelbar neben dem des Urteilssatzes.

15. ἂν πιστεύσειε] Vordersatz λόγοις = εἰ λέγοιεν. — τὸ πρότερον] 2, 10. — πιστοῦ] Vertrauen erweckend, d. i.

δεῖν ἔφη. ἐρωτώμενος δέ, Καὶ τί τοῦτ᾽ ἂν εἴη; πάλιν ἀπεκρίνατο, Ὅπερ καὶ πρόσθεν, ἔφη, ποιήσαντες οὐδὲν ὑφ᾽ ἡμῶν ἠδικήθητε.
16 τοῦτο δὲ ἦν τὴν ἀκρόπολιν παραδοῦναι. οὐκ ἐθελόντων δὲ αὐτῶν τοῦτο ποιεῖν ἐνέβαλέ τε εἰς τὴν χώραν καὶ ταχὺ περιτειχίσας ἐπολιόρκει αὐτούς. πολλῶν δὲ λεγόντων Λακεδαιμονίων, ὡς ὀλίγων ἕνεκεν ἀνθρώπων πόλει ἀπεχθάνοιντο πλέον πεντακισχιλίων ἀνδρῶν· καὶ γὰρ δὴ ὅπως τοῦτ᾽ ἔνδηλον εἴη, οἱ Φλιάσιοι ἐν τῷ φανερῷ τοῖς ἔξω ἐξεκλησίαζον· ὁ μέντοι Ἀγησίλαος πρὸς τοῦτο
17 ἀντεμηχανήσατο. ὁπότε γὰρ ἐξίοιεν ἢ διὰ φιλίαν ἢ διὰ συγγένειαν τῶν φυγάδων, ἐδίδασκε συσσίτιά τε αὐτῶν κατασκευάζειν καὶ εἰς τὰ ἐπιτήδεια ἴσα ἐνδιδόναι, ὁπόσοι δὲ γυμνάζεσθαι ἐθέλοιεν, καὶ ὅπλα ἐκπορίζειν ἅπασι τούτοις διεκελεύετο καὶ μὴ ὀκνεῖν εἰς ταῦτα χρήματα δανείζεσθαι. οἱ δὲ ταῦτα ὑπηρετοῦντες ἀπέδειξαν πλείους χιλίων ἀνδρῶν ἄριστα μὲν τὰ σώματα ἔχοντας, εὐτάκτους δὲ καὶ εὐοπλοτάτους· ὥστε τελευτῶντες οἱ Λακεδαιμόνιοι ἔλεγον, ὡς τοιούτων δέοιντο συστρατιωτῶν.

18 Καὶ Ἀγησίλαος μὲν δὴ περὶ ταῦτα ἦν. ὁ δὲ Ἀγησίπολις εὐθὺς ἐκ τῆς Μακεδονίας προσιὼν* ἔθετο πρὸς τῇ πόλει τῶν Ὀλυνθίων τὰ ὅπλα. ἐπεὶ δὲ οὐδεὶς ἀντεξῄει αὐτῷ, τότε τῆς

„Sicherheit gewährend", die vier Gegensätze in chiastischer Stellung. — *καὶ τί*] elliptisch wie § 10, „warum sie dies forderten und was denn das sein könnte". — *ὅπερ*] verb. nur mit *ποιήσαντες*, Verschränkung des Relativsatzes; erg. vorher *τοῦτο*; *οὐδέν* Acc. der Bezieh. verb. mit *ἠδικήθητε*; im D. übersetze das Part. als Verb. finit., das letztere subordiniert „ohne zu". — *πρόσθεν*] IV, 4, 15.

16. *πολλῶν … λεγόντων*] ohne Nachsatz; dieser wird frei durch *ὁ μέντοι Ἀγ.* vertreten. — *ὀλίγων*] *τῶν φυγάδων*. — *πλέον*] bei Zahlen oft ohne *ἤ*. — *ἐν τῷ φανερῷ*] d. h. auf der Burghöhe; von *φανερῷ* hängt der folgende Dat. comm. ab. — *ἐξεκλησίαζον*] iterativ.

17. *ἐξίοιεν*] *τινὲς τῶν φίλων ἢ τῶν συγγενῶν*; iterativer Vordersatz. — *ἐδίδασκε*] *τοὺς φυγάδας*, Verb. imperandi. — *συσσίτια ἐνδιδόναι*] erstes *ἀντιμηχάνημα*, um den murrenden Lacedämoniern die numerische und nach der Belagerungsnot auch leibliche Stärkung ihrer Schützlinge zu demonstrieren; dem entspricht unten *ἄριστα* (Adverb) *τὰ σώματα* (Acc. d. Bez.) *ἔχοντας*. — *ὁπόσοι δὲ … δανείζεσθαι*] zweites *μηχάνημα*, um auch eine thatkräftige militärische Verstärkung zu gewinnen; dem entspricht unten *εὐτάκτους καὶ εὐοπλοτάτους*. — *ἔλεγον*] phraseolog. „sagen mufste". — *δέοιντο*] phraseolog. „brauchen könnten".

18. *περὶ ταῦτα*] wie § 19 *ἐν τούτοις*. — *ἦν*] im Sinne von *ἐσπούδαζε*. — *εὐθύς*] in lokaler Bedeutung,

Ὀλυνθίας εἴ τι ὑπόλοιπον ἦν ἐδῄου καὶ εἰς τὰς συμμαχίδας ἰὼν αὐτῶν ἔφθειρε τὸν σῖτον· Τορώνην δὲ καὶ προσβαλὼν εἷλε κατὰ κράτος. ἐν δὲ τούτοις ὄντα κατὰ θέρους ἀκμὴν καῦμα πυριφλεγὲς 19 λαμβάνει αὐτόν. ὡς δὲ πρόσθεν ἑωρακότα τὸ ἐν Ἀφύτει τοῦ Διονύσου ἱερὸν ἔρως αὐτὸν τότ' ἔσχε τῶν τε σκιερῶν σκηνημάτων καὶ τῶν λαμπρῶν καὶ ψυχρῶν ὑδάτων. ἐκομίσθη μὲν οὖν ἐκεῖσε ἔτι ζῶν, ὅμως μέντοι ἑβδομαῖος ἀφ' οὗ ἔκαμεν ἔξω τοῦ ἱεροῦ ἐτελεύτησεν. καὶ ἐκεῖνος μὲν ἐν μέλιτι τεθεὶς καὶ κομισθεὶς οἴκαδε ἔτυχε τῆς βασιλικῆς ταφῆς.

Ἀγησίλαος δὲ τοῦτο ἀκούσας οὐχ ᾗ τις ἂν ᾤετο ἐφήσθη ὡς 20 ἀντιπάλῳ, ἀλλὰ καὶ ἐδάκρυσε καὶ ἐπόθησε τὴν συνουσίαν. συσκηνοῦσι μὲν γὰρ δὴ βασιλεῖς ἐν τῷ αὐτῷ, ὅταν οἴκοι ὦσιν· ὁ δὲ Ἀγησίπολις τῷ Ἀγησιλάῳ ἱκανὸς μὲν ἦν καὶ ἡβητικῶν καὶ θηρευτικῶν καὶ ἱππικῶν καὶ παιδικῶν λόγων μετέχειν· πρὸς δὲ τούτοις καὶ ὑπῃδεῖτο αὐτὸν ἐν τῇ συσκηνίᾳ, ὥσπερ εἰκὸς πρεσβύτερον. καὶ οἱ μὲν Λακεδαιμόνιοι ἀντ' ἐκείνου Πολυβιάδην ἁρμοστὴν ἐπὶ τὴν Ὄλυνθον ἐκπέμπουσιν.

---

recta via. — εἴ τι] vgl. § 3. — Τορώνην] St. im S. der mittleren chalcidischen Halbinsel Sithonia. — καὶ ... κατὰ κράτος] „sogar ... mit Sturm“, Gegensatz ἐδῄου. — ἀκμήν] vgl. τοῦ σίτου ἀκμάζοντος.

19. καῦμα] „Fieberhitze“. — ὡς ἑωρακότα] subj. Begründung von ἔρως aus der Seele des Kranken. — Ἄφυτις] St. in der westl. Mitte der Westhalbinsel von Chalcidice, Pallene. — ἔσχε] ingressiv = ἔλαβε. — λαμπρῶν] „krystallklar“. — ὅμως] trotz des kühlen Aufenthalts. — ἑβδομαῖος] üblicher Gebrauch von Adjektiven für zeitliche Adverbia. — ἔκαμεν νόσῳ = ἐνόσησε. — ἔξω] herausgeschafft, um durch den Tod den Tempel nicht zu entweihen. — ἐν μέλιτι] zur Einbalsamierung, da der Zuckerstoff konservierende Kraft hat. — τῆς βασ. ταφῆς] über die für Könige übliche Bestattung vgl. III, 3, 1.

20. ἂν ᾤετο] ergänze als irrealen Vordersatz „wenn er nicht durch die That anders belehrt wäre“. — ἐφήσθη] αὐτῷ τελευτήσαντι. Verba der Freude mit ἐπί zusammengesetzt bezeichnen die Schadenfreude und regieren den Dat. incommodi, vgl. 2, 2. — ἀντιπάλῳ] die politische Gegnerschaft des demokratenfreundlichen Agesipolis und des aristokratischen Agesilaos ist hier zuerst ausgesprochen, aber bereits aus IV, 7, 3. V, 2, 3; 3, 10, 16 zu schliefsen. — γὰρ δή] „denn bekanntlich“. — συσκηνεῖν] „gemeinsam speisen“ (eigentl. zelten). — ἐν τῷ αὐτῷ] σκηνώματι „Behausung“. — ἱκανός] wie bei uns „genügen“, nämlich geistigen und geselligen Ansprüchen. — ἡβητικῶν] betr. Jünglingsinteressen. — παιδικῶν] betr. Liebeshändel; die vier Begriffe bezeichnen den gewöhnlichen Sport der Vornehmen. — λόγων] „Gespräche“. — εἰκός] ἦν ὑπαιδεῖσθαι.

21 Ὁ δ᾽ Ἀγησίλαος ἤδη μὲν ὑπερέβαλε* τὸν χρόνον, ὅσου ἐλέγετο
ἐν τῷ Φλιοῦντι σῖτος εἶναι· τοσοῦτον γὰρ ἐγκράτεια γαστρὸς
διαφέρει, ὥστε οἱ Φλιάσιοι τὸν ἥμισυν ψηφισάμενοι σῖτον τελεῖν
ἢ πρόσθεν καὶ ποιοῦντες τοῦτο τὸν διπλάσιον τοῦ εἰκότος χρόνον
22 πολιορκούμενοι διήρκεσαν. καὶ τόλμα δὲ ἀτολμίας ἔσθ᾽ ὅτε το-
σοῦτον διαφέρει, ὥστε Δελφίων τις, λαμπρὸς δοκῶν εἶναι, λαβὼν
πρὸς αὐτὸν τριακοσίους ἄνδρας Φλιασίων ἱκανὸς μὲν ἦν κωλύειν
τοὺς βουλομένους εἰρήνην ποιεῖσθαι, ἱκανὸς δὲ οἷς ἠπίστει εἵρξας
φυλάττειν, ἐδύνατο δὲ εἴς τε τὰς φυλακὰς ἀναγκάζειν τὸ πλῆθος
ἰέναι καὶ τούτους ἐφοδεύων πιστοὺς παρέχεσθαι. πολλάκις δὲ
μεθ᾽ ὧν εἶχε περὶ αὐτὸν καὶ ἐκθέων ἀπέκρουε φύλακας ἄλλοτ᾽
23 ἄλλῃ τοῦ περιτετειχισμένου κύκλου. ἐπεὶ μέντοι οἱ ἐπίλεκτοι
οὗτοι πάντα τρόπον ζητοῦντες οὐχ εὕρισκον σῖτον ἐν τῇ πόλει, ἐκ
τούτου δὴ πέμψαντες πρὸς τὸν Ἀγησίλαον ἐδέοντο σπείσασθαι
πρεσβείαν εἰς Λακεδαίμονα ἰοῦσι· δεδόχθαι γὰρ σφίσιν ἔφασαν
ἐπιτρέπειν τοῖς τέλεσι τῶν Λακεδαιμονίων χρήσασθαι τῇ πόλει
24 ὅ,τι βούλοιντο. ὁ δὲ ὀργισθείς, ὅτι ἄκυρον αὐτὸν ἐποίουν, πέμ-
ψας μὲν πρὸς τοὺς οἴκοι φίλους διεπράξατο ἑαυτῷ ἐπιτραπῆναι
τὰ περὶ Φλιοῦντος, ἐσπείσατο δὲ τῇ πρεσβείᾳ. φυλακῇ δὲ ἔτι
ἰσχυροτέρᾳ ἢ πρότερον ἐφύλαττεν, ἵνα μηδεὶς τῶν ἐκ τῆς πόλεως
ἐξίοι. ὅμως μέντοι ὅ γε Δελφίων καὶ στιγματίας τις μετ᾽ αὐτοῦ,

---

21. *ὑπερέβαλε*] phras. „sah sich genötigt zu …“. — *ὅσου*] Gen. numeri. — *ἐλέγετο*] von Überläufern. — *γαστρός*] prägn. „Ansprüche des M.“. — *διαφέρει*] *προέχει*. — *ἥμισυν*] wie unten *διπλάσιον* komparativisch. — *τελεῖν*] eigentl. den Zweck erfüllen lassen, d. i. „verbrauchen“. — *καὶ ποιοῦντες*] steigernd „und wirklich“; nach *ψηφισάμενοι* im Sinne von *οὐ μόνον … ἀλλὰ καί*. — *τοῦ εἰκότος*] = *ἢ εἰκὸς ἦν ἀρκεῖν*; vgl. § 5 *τοῦ καιροῦ*. — *διήρκεσαν*] konstruiert wie *διατελέω*, aushalten.

22. *μὲν … δὲ … δέ*] kopulativ. — *εἵρξας*] *τούτους*; beachte den Bedeutungsunterschied der aspirierten Form von der nicht aspirierten. — *φυλακάς*] lokal mit *ἰέναι* zu verbinden. — *τούτους*] *τὸ πλῆθος*. — *καὶ ἐκθέων*] sogar. — *φύλακας*] „Schildwachen“. — *ἄλλοτ᾽ ἄλλῃ*] zeitl. u. räuml. distributiv. — *κύκλου*] *τοῦ περὶ τὸ ἄστυ*.

23. *οἱ ἐπίλεκτοι*] *τριακόσιοι οἱ περὶ τὸν Δελφίωνα*. — *ζητοῦντες*] konzessiv. — *οὐχ*] *οὐκέτι*. — *σπείσασθαι*] *αὐτοῖς* zu sicherem Geleite. — *πρεσβείαν*] Acc. des Inhalts nach Analogie von *ὁδὸν ἰέναι*. — *ἐπιτρέπειν*] *permittere*. — *χρήσασθαι*] „machen mit“; Ausdruck der Übergabe auf Gnade und Ungnade.

24. *ἐποίουν*] T. de conatu. — *τὰ περὶ Φλ.*] „die Entscheidung über Phl.“, vgl. 1, 20. — *ἐσπείσατο*] prägn. „vertragsmäfsig das Geleite sichern“. — *τῶν ἐκ*] vgl. 1, 5. — *στιγματίας*]

ὃς πολλὰ ὑφείλετο ὅπλα τῶν πολιορκούντων, ἀπέδρασαν νύκτωρ. ἐπεὶ δὲ ἧκον οἱ ἐκ τῆς Λακεδαίμονος ἀπαγγέλλοντες, ὅτι· ἡ πόλις 25
ἐπιτρέποι Ἀγησιλάῳ διαγνῶναι τὰ ἐν Φλιοῦντι ὅπως αὐτῷ δοκοίη, Ἀγησίλαος δὴ οὕτως ἔγνω, πεντήκοντα μὲν ἄνδρας τῶν κατεληλυθότων, πεντήκοντα δὲ τῶν οἴκοθεν πρῶτον μὲν ἀνακρῖναι ὅντινά τε ζῆν ἐν τῇ πόλει καὶ ὅντινα ἀποθανεῖν δίκαιον εἴη· ἔπειτα δὲ νόμους θεῖναι, καθ᾽ οὓς πολιτεύσοιντο· ἕως δ᾽ ἂν ταῦτα διαπράξωνται, φυλακὴν καὶ μισθὸν τοῖς φρουροῖς ἓξ μηνῶν κατέλιπεν. ταῦτα δὲ ποιήσας τοὺς μὲν συμμάχους ἀφῆκε, τὸ δὲ πολιτικὸν οἴκαδε ἀπήγαγεν. καὶ τὰ μὲν περὶ Φλιοῦντα οὕτως αὖ ἐπετετέλεστο ἐν ὀκτὼ μησὶ καὶ ἐνιαυτῷ.

Καὶ ὁ Πολυβιάδης δὲ παντάπασι κακῶς ἔχοντας λιμῷ τοὺς 26
Ὀλυνθίους διὰ τὸ μήτε ἐκ τῆς γῆς λαμβάνειν μήτε κατὰ θάλατταν εἰσάγεσθαι σῖτον αὐτοῖς ἠνάγκασε πέμψαι εἰς Λακεδαίμονα περὶ εἰρήνης. οἱ δ᾽ ἐλθόντες πρέσβεις αὐτοκράτορες συνθήκας ἐποιήσαντο τὸν αὐτὸν μὲν ἐχθρὸν καὶ φίλον Λακεδαιμονίοις νομίζειν, ἀκολουθεῖν δὲ ὅποι ἂν ἡγῶνται καὶ σύμμαχοι εἶναι. καὶ ὀμόσαντες ταύταις ἐμμενεῖν οὕτως ἀπῆλθον οἴκαδε.

Προκεχωρηκότων δὲ τοῖς Λακεδαιμονίοις ὥστε Θηβαίους μὲν 27
καὶ τοὺς ἄλλους Βοιωτοὺς παντάπασιν ἐπ᾽ ἐκείνοις εἶναι, Κορινθίους δὲ πιστοτάτους γεγενῆσθαι, Ἀργείους δὲ τεταπεινῶσθαι, [διὰ τὸ μηδὲν ἔτι ὠφελεῖν αὐτοὺς τῶν μηνῶν τὴν ὑποφοράν] Ἀθηναίους δὲ ἠρημῶσθαι, τῶν δ᾽ αὖ συμμάχων κεκολασμένων οἳ δυσμενῶς εἶχον αὐτοῖς, παντάπασιν ἤδη καλῶς καὶ ἀσφαλῶς ἡ ἀρχὴ ἐδόκει αὐτοῖς κατεσκευάσθαι.

„gebrandmarkter Verbrecher“. — ὑφείλετο] schon früher einmal mit ähnlicher Kühnheit.

25. οἱ ἐκ τ. Λ.] πρέσβεις, vgl. § 24 πέμψας. — ἀπαγγέλλοντες] appositiv. — τὰ ἐν Φλ.] = τὰ περὶ Φλ. § 24. — διαγνῶναι ... δοκοίη] = χρήσασθαι ... βούλοιντο § 23. — ἔγνω] V. imperandi „dahin erkennen“. — ἄνδρας] Subjekt. — κατεληλυθότων] τ. φυγάδων. — τῶν οἴκοθεν] vgl. § 11; erg. ἐκλέκτους. — τοῖς φρουροῖς] = τῇ φυλακῇ. — αὖ] Gegensatz zu anderen Begebenheiten.

26. σῖτον] Objekt zu λαμβάνειν und Subjekt zu εἰσάγεσθαι. — αὐτοκράτορες] prädik. zu ἐλθόντες. — νομίζειν ... ἀκολουθεῖν] Begehrungssätze; als Subjekt dazu ist Ὀλυνθίους zu denken. — ἡγῶνται] Subjektswechsel.

27. προκεχωρηκότων] vgl. 2, 1; erg. τῶν πραγμάτων. — τῶν συμμάχων] partitiv zu (τούτων) οἵ, nämlich nur Phlius und Mantinea. — καλῶς] „glücklich“. — ἐδόκει] Dafs es blofs Schein war, beweisen die folgenden Ereignisse. — αὐτοῖς] verb. mit κατεσκευάσθαι.

4 Πολλὰ μὲν οὖν ἄν τις ἔχοι καὶ ἄλλα λέγειν καὶ Ἑλληνικὰ καὶ βαρβαρικά, ὡς θεοὶ οὔτε τῶν ἀσεβούντων οὔτε τῶν ἀνόσια ποιούντων ἀμελοῦσι· νῦν γε μὴν λέξω τὰ προκείμενα. Λακεδαιμόνιοί τε γὰρ οἱ ὀμόσαντες αὐτονόμους ἐάσειν τὰς πόλεις τὴν ἐν Θήβαις ἀκρόπολιν κατασχόντες ὑπ' αὐτῶν μόνων τῶν ἀδικηθέντων ἐκολάσθησαν, πρότερον οὐδ' ὑφ' ἑνὸς τῶν πώποτε ἀνθρώπων κρατηθέντες, τούς τε τῶν πολιτῶν εἰσαγαγόντας εἰς τὴν ἀκρόπολιν αὐτοὺς καὶ βουληθέντας Λακεδαιμονίοις δουλεύειν τὴν πόλιν ὥστε αὐτοὶ τυραννεῖν, τὴν τούτων ἀρχὴν ἑπτὰ μόνον τῶν φυγόντων ἤρκεσαν καταλῦσαι. ὡς δὲ τοῦτ' ἐγένετο, διηγήσομαι.

Kap. 4. § 1/12: Sturz der Gewaltherrschaft des Leontiades in Theben; Abzug der spartanischen Besatzung (379 v. Chr.). — § 13/19: Erster Einfall des Kleombrotos in Theben (379). Verurteilung der Feldherren in Athen (378). — § 20/33: Angriff des bestochenen Harmosten Sphodrias auf den Piräus. Freisprechung des Sphodrias durch Agesilaos (378). § 34/41: Erster Feldzug des Agesilaos in Böotien (378). — § 42/46: Unternehmungen und Tod des Phöbidas (378). — § 47/55: Zweiter Feldzug des Agesilaos in Böotien (377). — § 56/57: Abfall von Oreos auf Euböa (377). — § 58: Erkrankung des Agesilaos (376). — § 59: Vereitelung eines dritten, von Kleombrotos unternommenen Feldzugs gegen Theben (376). — § 60/66: Seekrieg zwischen Athen und Sparta. Thaten des Atheners Timotheos (376/75).

1. *πολλὰ ... ἀμελοῦσι*] pragmatische Bemerkung. — *λέγειν*] prägnant für *λέγων ἀποδείκνυσθαι*. — *γε μήν*] Gegensatz zu *μέν* stärker als *δέ*. — *οὔτε τῶν ἀσεβούντων οὔτε τῶν ἀνόσια ποιούντων*] keine Tautologie; das erstere geht auf die Gesinnung, welche durch Meineid (*ὀμόσαντες*) die Pietät gegen die Götter verletzt, das letztere auf die That, welche durch Vertragsbruch (*κατασχόντες ... εἰσαγαγόντας*) menschliches und göttliches Recht beugt. — *νῦν γε μήν*] spezieller Gegensatz zu *πολλὰ μὲν ἄλλα*. — *ἀμελοῦσι*] *περιορῶσι*. — *οἱ*] verb. mit *κατασχόντες*, welchem *ὀμόσαντες* konzessiv untergeordnet ist. — *ὀμόσαντες*] zur Sache vgl. 1, 32. — *κατασχόντες*] ingressiv. — *ὑπ' αὐτῶν*] *ipsorum opera*, „auf eigene Faust". — *μόνων*] ohne fremde Hilfe. — *ἀδικηθέντων*] d. i. *Θηβαίων*. — *ἐκολάσθησαν*] bei Leuktra; Gegensatz *πρότερον ἀεὶ κολάζοντες καὶ οὐδ' κτλ.* — *κρατηθέντες*] vergewaltigt u. unterworfen, nicht *νικηθέντες*, was der Wahrheit widerspräche. — *τοὺς ... εἰσαγαγόντας*] d. i. *τοὺς περὶ Λεοντιάδην*, vgl. 2, 25. — *τε ... καί*] verbindet die zwei Acc. Partic. — *αὐτούς*] *Λακεδαιμονίους*. — *δουλεύειν*] mit Dativ „in dienstbarem Verhältnis stehen"; mit Acc. „bedienen"; Subjekt dazu *τὴν πόλιν*. — *αὐτοί*] anakoluthisch, statt *αὐτούς*; Constr. ad sensum, als ob vorausginge *οἳ ἐβουλήθησαν*. — *τὴν τούτων ἀρχήν*] Apposition, epanaleptisch zu *τούς ... εἰσαγ.*

Ἦν τις Φυλλίδας, ὃς ἐγραμμάτευε τοῖς [περὶ Ἀρχίαν] πολε- 2
μάρχοις, καὶ τἆλλα ὑπηρέτει, ὡς ἐδόκει, ἄριστα. τούτῳ δ' ἀφι-
γμένῳ Ἀθήναζε κατὰ πρᾶξίν τινα καὶ πρόσθεν γνώριμος ὢν
Μέλων τῶν Ἀθήναζε πεφευγότων Θηβαίων συγγίγνεται καὶ δια-
πυθόμενος μὲν τὴν περὶ Ἀρχίαν τε καὶ τὴν περὶ Φίλιππον τοὺς
πολεμαρχοῦντας τυραννίδα, γνοὺς δὲ μισοῦντα αὐτὸν ἔτι μᾶλλον
αὐτοῦ τὰ οἴκοι πιστὰ δοὺς καὶ λαβὼν συνέθετο, ὡς δεῖ ἕκαστα
γίγνεσθαι. ἐκ δὲ τούτου προσλαβὼν ὁ Μέλων ἓξ τοὺς ἐπιτηδειο- 3
τάτους τῶν φευγόντων ξιφίδια ἔχοντας καὶ ἄλλο ὅπλον οὐδὲν
ἔρχεται πρῶτον μὲν εἰς τὴν χώραν νυκτός· ἔπειτα δὲ ἡμερεύσαντες
ἔν τινι τόπῳ ἐρήμῳ πρὸς τὰς πύλας ἦλθον, ὡς δὴ ἐξ ἀγροῦ
ἀπιόντες, ἡνίκαπερ οἱ ἀπὸ τῶν ἔργων ὀψιαίτατοι. ἐπεὶ δ' εἰσῆλ-
θον εἰς τὴν πόλιν, διενυκτέρευσαν μὲν ἐκείνην τὴν νύκτα παρὰ
Χάρωνί τινι καὶ τὴν ἐπιοῦσαν δὲ ἡμέραν διημέρευσαν. ὁ μὲν οὖν 4
Φυλλίδας τά τε ἄλλα ἐπεμελεῖτο τοῖς πολεμάρχοις, ὡς Ἀφρο-
δίσια ἄγουσιν ἐπ' ἐξόδῳ τῆς ἀρχῆς, καὶ δὴ καὶ γυναῖκας πάλαι
ὑπισχνούμενος ἄξειν αὐτοῖς τὰς σεμνοτάτας καὶ καλλίστας τῶν ἐν
Θήβαις τότε ἔφη ἄξειν. οἱ δέ, ἦσαν γὰρ τοιοῦτοι, μάλα ἡδέως
προσεδέχοντο νυκτερεύειν. ἐπεὶ δὲ ἐδείπνησάν τε καὶ συμπροθυ- 5
μουμένου ἐκείνου ταχὺ ἐμεθύσθησαν, πάλαι κελευόντων ἄγειν τὰς
ἑταίρας, ἐξελθὼν ἤγαγε τοὺς περὶ Μέλωνα, τρεῖς μὲν στείλας ὡς
δεσποίνας, τοὺς δὲ ἄλλους ὡς θεραπαίνας. κἀκείνους μὲν εἰσή- 6
γαγεν εἰς τὸ ταμιεῖον τοῦ πολεμαρχείου, αὐτὸς δ' εἰσελθὼν εἶπε

---

2. *ἐγραμμάτευε*] Das Schreiberamt war ein Vertrauensposten. — *κατὰ πρ.*] „infolge", d. i. „bei Gelegenheit". — *καὶ πρόσθεν*] *iam antea*. — *ὢν*] Part. Imperf. — *πεφευγότων*] c. 300, vgl. 2, 31. — *αὐτοῦ*] Gen. comparativ. — *πιστὰ δοὺς καὶ λαβών*] Formel zur Bezeichnung der Gegenseitigkeit.

3. *εἰς τὴν χώραν*] *περὶ τὰς Θήβας*, Gegens. unten *πόλιν*. — *πύλας*] *τῶν Θηβῶν*. — *ὡς δή*] = *ὥσπερ*, scheinbarer Grund. — *ἀπὸ τῶν ἔργων*] „Feldarbeit"; Attraktion zu dem vorschwebenden *ἀπέρχεσθαι εἰώθασιν*. — *καὶ ... δέ*] vgl. 1, 11.

4. *τὰ ἄλλα*] Acc. des Inhalts. — *τοῖς πολεμάρχοις*] Dat. comm. — *ὡς ... ἄγουσι*] kausales Particip. — *Ἀφροδίσια*] Freudenfestgelage. — *καὶ δὴ καί*] vgl. 1, 11. — *πάλαι*] „seit lange". — *ὑπισχνούμενος*] Particip Imperf., vgl. § 2. — *σεμνοτάτας*] „die vornehmsten", nicht im moral. Sinne. — *τοιοῦτοι*] *οἷοι* (*ὥστε*) *ἥδεσθαι ἐπὶ τούτοις*.

5. *συμπροθυμουμένου*] „animieren", durch sein eigenes Beispiel. — *στείλας*] „verkleiden", vgl. *στολή*.

6. *ταμιεῖον*] Kassenzimmer des *γραμματεὺς Φυλλίδας*. — *οὐκ ...*

τοῖς περὶ Ἀρχίαν, ὅτι οὐκ ἂν φασιν εἰσελθεῖν αἱ γυναῖκες, εἴ τις τῶν διακόνων ἔνδον ἔσοιτο. ἔνθεν οἱ μὲν ταχὺ ἐκέλευον πάντας ἐξιέναι, ὁ δὲ Φυλλίδας δοὺς οἶνον εἰς ἑνὸς τῶν διακόνων ἐξέπεμψεν αὐτούς. ἐκ δὲ τούτου εἰσήγαγε τὰς ἑταίρας δὴ καὶ ἐκάθιζε παρ᾽ ἑκάστῳ. ἦν δὲ σύνθημα, ἐπεὶ καθίζοιντο, παίειν εὐθὺς ἀνακα-
7 λυψαμένους. οἱ μὲν δὴ οὕτως λέγουσιν αὐτοὺς ἀποθανεῖν, οἱ δὲ καὶ ὡς κωμαστὰς εἰσελθόντας τοὺς ἀμφὶ Μέλωνα ἀποκτεῖναι τοὺς πολεμάρχους. λαβὼν δὲ ὁ Φυλλίδας τρεῖς αὐτῶν ἐπορεύετο ἐπὶ τὴν τοῦ Λεοντιάδου οἰκίαν· κόψας δὲ τὴν θύραν εἶπεν, ὅτι παρὰ τῶν πολεμάρχων ἀπαγγεῖλαί τι βούλοιτο. ὁ δὲ ἐτύγχανε μὲν χωρὶς κατακείμενος ἔτι μετὰ δεῖπνον καὶ ἡ γυνὴ ἐριουργοῦσα παρεκάθητο. ἐκέλευσε δὲ τὸν Φυλλίδαν πιστὸν νομίζων εἰσιέναι. οἱ δ᾽ ἐπεὶ εἰσῆλθον, τὸν μὲν ἀπέκτειναν, τὴν δὲ γυναῖκα φοβήσαντες κατεσιώπησαν. ἐξιόντες δὲ εἶπον τὴν θύραν κεκλεῖσθαι· εἰ δὲ λήψονται ἀνεῳγμένην, ἠπείλησαν ἀποκτεῖναι ἅπαντας τοὺς ἐν τῇ
8 οἰκίᾳ. ἐπεὶ δὲ ταῦτ᾽ ἐπέπρακτο, λαβὼν δύο ὁ Φυλλίδας τῶν ἀνδρῶν ἦλθε πρὸς τὸ ἀναγκαῖον καὶ εἶπε τῷ εἱργμοφύλακι, ὅτι ἄνδρα ἄγοι παρὰ τῶν πολεμάρχων, ὃν εἷρξαι δέοι. ὡς δὲ ἀνέῳξε, τοῦτον μὲν εὐθὺς ἀπέκτειναν, τοὺς δὲ δεσμώτας ἔλυσαν. καὶ τούτους μὲν ταχὺ τῶν ἐκ τῆς στοᾶς ὅπλων καθελόντες ὥπλισαν καὶ
9 ἀγαγόντες ἐπὶ τὸ Ἀμφεῖον θέσθαι ἐκέλευον τὰ ὅπλα. ἐκ δὲ τούτου εὐθὺς ἐκήρυττον ἐξιέναι πάντας Θηβαίους, ἱππέας τε καὶ

φασίν] **negare;** *ἂν* zu *εἰσελθεῖν* gehörig, vgl. 1, 15. — *ἔσοιτο*] Opt. Or. obl. = *μενεῖ*; der Bedingung entspricht die fingierte Vornehmheit der Frauen. — *ἔνθεν*] entsprechend *ἔνδον*. — *εἰς ἑνός*] *οἶκον*. — *δή*] ironisch „die bewufsten". — *ἐκάθιζε*] transitiv. — *παίειν*] absolut „losschlagen".

7. *αὐτούς*] *τοὺς πολεμάρχους*; dagegen *τοὺς ἀμφὶ Μ.* Wechsel des Subjekts. — *ὡς κωμαστάς*] „scheinbar als Nachtschwärmer". — *Λεοντιάδου*] L. war also nicht mehr *πολέμαρχος*, wohl aber *τῶν περὶ τ. π.* — *χωρίς*] *τῶν περὶ Ἀρχίαν*; er nahm also am Festschmaus nicht teil. — *κεκλεῖσθαι*] Inf. des Begehrungssatzes „soll v. bleiben". — *ἠπείλησαν*] mit Inf. Aor. ohne *ἂν* wie öfters *ἐλπίζω*, *ὄμνυμι*, *ὑπισχνέομαι* u. a. als Verb. cupiendi betrachtet = *ἀπειλοῦντες ἠθέλησαν*.

8. *ἀναγκαῖον*] vgl. im D. Zwinger (Twing-Uri), Lat. **robur.** — *εἷρξαι*] Subjektswechsel. — *δεσμώτας*] es waren ihrer c. 150. — *τῶν ... ὅπλων*] Gen. part., nach Analogie von *οἴνου πίνειν*, Frz. articl. partit. — *ἐκ τῆς στοᾶς*] vgl. 1, 5. — *Ἀμφεῖον*] Heiligtum des mythischen Königs Amphion von Theben in der Unterstadt nahe der Burg. — *θέσθαι τὰ ὅπλα*] „Stellung nehmen", d. i. entweder „antreten" oder „Halt machen", je nach dem Sinn.

9. *ἐκήρυττον*] Verb. imperandi. —

ὁπλίτας, ὡς τῶν τυράννων τεθνεώτων. οἱ δὲ πολῖται, ἕως μὲν
νὺξ ἦν, ἀπιστοῦντες ἡσυχίαν εἶχον· ἐπεὶ δ' ἡμέρα τε ἦν καὶ φα-
νερὸν ἦν τὸ γεγενημένον, ταχὺ δὴ καὶ οἱ ὁπλῖται καὶ οἱ ἱππεῖς
σὺν τοῖς ὅπλοις ἐξεβοήθουν. ἔπεμψαν δ' ἱππέας οἱ κατεληλυ-
θότες καὶ ἐπὶ τοὺς πρὸς τοῖς ὁρίοις Ἀθηναίων δύο τῶν στρατη-
γῶν. οἱ δ' εἰδότες τὸ πρᾶγμα, ἐφ' ὃ ἀπεστάλκεσαν, ἐπεβοήθησαν. 10
ὁ μέντοι ἐν τῇ ἀκροπόλει ἁρμοστής, ἐπεὶ ᾔσθετο τὸ νυκτερινὸν
κήρυγμα, εὐθὺς ἔπεμψεν εἰς Πλαταιὰς καὶ Θεσπιὰς ἐπὶ βοήθειαν.
καὶ τοὺς μὲν Πλαταιέας αἰσθόμενοι προσιόντας οἱ τῶν Θηβαίων
ἱππεῖς ἀπαντήσαντες ἀπέκτειναν αὐτῶν πλέον ἢ εἴκοσιν· ἐπεὶ δὲ
εἰσῆλθον ταῦτα πράξαντες καὶ οἱ Ἀθηναῖοι ἀπὸ τῶν ὁρίων ἤδη
παρῆσαν, προσέβαλον πρὸς τὴν ἀκρόπολιν. ὡς δὲ ἔγνωσαν οἱ ἐν 11
τῇ ἀκροπόλει ὀλίγοι ὄντες τήν τε προθυμίαν τῶν προσιόντων
ἁπάντων ἑώρων, καὶ τῶν κηρυγμάτων μεγάλων γιγνομένων τοῖς
πρώτοις ἀναβᾶσιν, ἐκ τούτων φοβηθέντες εἶπον, ὅτι ἀπίοιεν ἄν,
εἰ σφίσιν ἀσφάλειαν μετὰ τῶν ὅπλων ἀπιοῦσι διδοῖεν. οἱ δὲ
ἄσμενοί τε ἔδοσαν ἃ ᾔτουν καὶ σπεισάμενοι καὶ ὅρκους ὀμόσαντες
ἐπὶ τούτοις ἐξέπεμπον. ἐξιόντων μέντοι, ὅσους ἐπέγνωσαν τῶν 12
ἐχθρῶν ὄντας, συλλαμβάνοντες ἀπέκτειναν. ἦσαν δέ τινες οἳ καὶ
ὑπὸ Ἀθηναίων τῶν ἀπὸ τῶν ὁρίων ἐπιβοηθησάντων ἐξεκλάπησαν

ἐξιέναι] ἐκ τῶν οἰκιῶν. — οἱ κατεληλυθότες] οἱ ἀμφὶ Μέλωνα. — Ἀθηναίων] Offenbar standen nach Verabredung (vgl. § 2 ξυνέθετο ὡς δεῖ ἕκαστα γίγνεσθαι) bereits zwei athenische Feldherren schlagfertig an der Grenze (vgl. § 10. 19), daher hier der Artikel οἱ δ', d. h. die bereits eingeweihten Führer. — εἰδότες] sc. καλῶς προχωροῦν τ. πρ. — ἐπεβοήθησαν] vgl. § 12.

10. Πλαταιὰς καὶ Θεσπιάς] die alten Erbfeinde Thebens, jetzt mit lacedämonischen Besatzungen.

11. ὀλίγοι ὄντες] prädik. zu ἔγνωσαν. — ἁπάντων] die vereinten Thebaner und Athener. — ἔγνωσαν ... ἑώρων] chiastisch koordiniert. — καὶ τῶν κηρ. γενομένων] kausal zu ὡς ... ἔγνωσαν koordiniert. — μεγάλων γ.] „vielversprechend lauten". — τ. πρώτοις] τῶν ἐναντίων. — ἀναβᾶσι] εἰς τὴν ἀκρόπολιν, hypothetisch. — ἐκ τούτων] epanaleptisch im Nachsatz. — εἶπον] „liefsen erklären". — ἀσφάλειαν ἀπιοῦσι] ähnlich wie 3, 23. — ᾔτουν] Subjektswechsel. — ἐπὶ τούτοις] verb. mit ὀμόσαντες; vgl. ἐφ' ᾧτε. — διδοῖεν] Subjektswechsel. — ἐξέπεμπον] ἀσφάλειαν ἔδοσαν ἀπιοῦσιν.

12. ἐξιόντων] τῶν ἐν τῇ ἀκροπόλει. — ἐχθρῶν] Thebaner der Partei des Leontiades, οἱ λακωνίζοντες. — ἀπέκτειναν] Vertragsbruch, von dem nur die Lacedämonier selbst verschont blieben. — οἳ καί] „w. noch glücklich", Gegensatz des διεσώθησαν zu ἀπέκτειναν. — ἐξεκλάπησαν] präg-

καὶ διεσώθησαν. οἱ μέντοι Θηβαῖοι καὶ τοὺς παῖδας τῶν ἀποθανόντων, ὅσοις ἦσαν, λαβόντες ἀπέσφαξαν.

13 Ἐπεὶ δὲ ταῦτα ἐπύθοντο οἱ Λακεδαιμόνιοι, τὸν μὲν ἁρμοστὴν τὸν ἐγκαταλιπόντα τὴν ἀκρόπολιν καὶ οὐκ ἀναμείναντα τὴν βοήθειαν ἀπέκτειναν, φρουρὰν δὲ φαίνουσιν ἐπὶ τοὺς Θηβαίους. καὶ Ἀγησίλαος μὲν λέγων, ὅτι ὑπὲρ τετταράκοντα ἀφ᾽ ἥβης εἴη, ὥσπερ καὶ τοῖς ἄλλοις τοῖς τηλικούτοις οὐκέτι ἀνάγκη εἴη τῆς ἑαυτῶν ἔξω στρατεύεσθαι, οὕτω δὴ καὶ βασιλεῦσι τὸν αὐτὸν νόμον ὄντα ἀπεδείκνυεν. κἀκεῖνος μὲν δὴ λέγων ταῦτα οὐκ ἐστρατεύετο. οὐ μέντοι τούτου γ᾽ ἕνεκεν κατέμεινεν, ἀλλ᾽ εὖ εἰδώς, ὅτι, εἰ στρατηγοίη, λέξοιεν οἱ πολῖται, ὡς Ἀγησίλαος, ὅπως βοηθήσειε τοῖς τυράννοις, πράγματα τῇ πόλει παρέχοι. εἴα οὖν αὐτοὺς βουλεύ-

14 εσθαι, ὁποῖόν τι βούλοιντο περὶ τούτων. οἱ δ᾽ ἔφοροι διδασκόμενοι ὑπὸ τῶν μετὰ τὰς ἐν Θήβαις σφαγὰς ἐκπεπτωκότων Κλεόμβροτον ἐκπέμπουσι, πρῶτον τότε ἡγούμενον, μάλα χειμῶνος ὄντος. τὴν μὲν οὖν δι᾽ Ἐλευθερῶν ὁδὸν Χαβρίας ἔχων Ἀθηναίων πελταστὰς ἐφύλαττεν· ὁ δὲ Κλεόμβροτος ἀνέβαινε κατὰ τὴν εἰς Πλαταιὰς φέρουσαν. προϊόντες δὲ οἱ πελτασταὶ περιτυγχάνουσιν ἐπὶ τῷ ἄκρῳ φυλάττουσι τοῖς ἐκ τοῦ ἀναγκαίου λελυμένοις, ὡς περὶ ἑκατὸν καὶ πεντήκοντα οὖσιν. καὶ τούτους μὲν ἅπαντας, εἰ μή τις ἐξέφυγεν, οἱ πελτασταὶ ἀπέκτειναν· αὐτὸς δὲ κατέβαινε πρὸς τὰς

15 Πλαταιάς, ἔτι φιλίας οὔσας. ἐπεὶ δὲ εἰς Θεσπιὰς ἀφίκετο, ἐκεῖθεν ὁρμηθεὶς εἰς Κυνὸς κεφαλὰς οὔσας Θηβαίων ἐστρατοπεδεύσατο.

---

nant. — διεσώθησαν] εἰς τὴν Ἀττικήν.

13. φρουρὰν φαίνουσιν] vgl. 1, 30. — ὑπὲρ τετταράκοντα ἀφ᾽ ἥβης] ἔτη „über 40 J. gedient". Die 50- bis 60 jährigen Männer bildeten das vierte und letzte Aufgebot. — ὥσπερ καὶ ... οὕτω καί] Abundanz der Partikel καὶ in Vergleichen. — τοῖς ἄλλοις] πολίταις. — τῆς ἑαυτῶν] γῆς, kollektiv Redner und Angeredete umfassend. — κἀκεῖνος μέν] epanaleptisch zu καὶ Ἀγ. μέν, Gegensatz § 14 οἱ δ᾽ ἔφοροι. — τοῖς τυράννοις] generischer Artikel.

14. Κλεόμβροτον] Bruder und Nachfolger des Agesipolis, vgl. 3, 19. — ἐκπέμπουσι] ergänze vorher: οὐκ ἀπέστησαν τοῦ πολέμου ἀλλά. — μάλα] zu dem in χειμῶνος liegenden Adjektivbegriffe. — Ἐλευθεραί] St. Attikas an der Grenze von Böotien, im S. des Kithäron. — φέρουσαν] westlich vom Kithäron. — πελτασταί] des Kleombrotos. — ἄκρῳ] des Kithäron. — περιτυγχάνουσι] vgl. V, 1, 7. — λελυμένοις] vgl. § 8. — ὡς] zum Zahlwort. — ἔτι] τότε, später nach 376 v. Chr. nicht mehr.

15. Κυνὸς κεφαλάς] Bergflecken, nahe Theben, zu unterscheiden von

μείνας δὲ ἐκεῖ περὶ ἑκκαίδεκα ἡμέρας ἀπεχώρησε πάλιν εἰς Θε-
σπιάς. κἀκεῖ μὲν ἁρμοστὴν κατέλιπε Σφοδρίαν καὶ ἀπὸ τῶν
συμμάχων τὸ τρίτον μέρος ἑκάστων· παρέδωκε δὲ αὐτῷ καὶ χρή-
ματα, ὅσα ἐτύγχανεν οἴκοθεν ἔχων, καὶ ἐκέλευσε ξενικὸν προσμι-
σθοῦσθαι. καὶ ὁ μὲν Σφοδρίας ταῦτ' ἔπραττεν. ὁ δὲ Κλεόμ- 16
βροτος ἀπῆγεν ἐπ' οἴκου τὴν διὰ Κρεύσιος τοὺς μεθ' αὑτοῦ
στρατιώτας καὶ μάλα ἀποροῦντας, πότερά ποτε πόλεμος πρὸς
Θηβαίους ἢ εἰρήνη εἴη· ἤγαγε μὲν γὰρ εἰς τὴν τῶν Θηβαίων τὸ
στράτευμα, ἀπῆλθε δὲ ὡς ἐδύνατο ἐλάχιστα κακουργήσας. ἀπιόντι 17
γε μὴν ἄνεμος αὐτῷ ἐξαίσιος ἐπεγένετο, ὃν καὶ οἰωνίζοντό τινες
σημαίνειν πρὸ τῶν μελλόντων. πολλὰ μὲν γὰρ καὶ ἄλλα βίαια
ἐποίησεν, ἀτὰρ καὶ ὑπερβάλλοντος αὐτοῦ μετὰ τῆς στρατιᾶς ἐκ
τῆς Κρεύσιος τὸ καθῆκον ἐπὶ θάλατταν ὄρος πολλοὺς μὲν ὄνους
κατεκρήμνισεν αὐτοῖς σκεύεσι, πάμπολλα δὲ ὅπλα ἀφαρπασθέντα
εἰςήλασεν εἰς τὴν θάλατταν. τέλος δὲ πολλοὶ οὐ δυνάμενοι σὺν 18
τοῖς ὅπλοις πορεύεσθαι, ἔνθεν καὶ ἔνθεν τοῦ ἄκρου κατέλιπον
λίθων ἐμπλήσαντες ὑπτίας τὰς ἀσπίδας. καὶ τότε μὲν τῆς Με-
γαρικῆς ἐν Αἰγοσθένοις ἐδείπνησαν ὡς ἐδύναντο· τῇ δ' ὑστεραίᾳ
ἐλθόντες ἐκομίσαντο τὰ ὅπλα. ἐκ τούτου οἴκαδε ἤδη ἕκαστοι
ἀπῄεσαν· ἀφῆκε γὰρ αὐτοὺς ὁ Κλεόμβροτος.

Οἱ μὲν οὖν Ἀθηναῖοι ὁρῶντες τὴν τῶν Λακεδαιμονίων ῥώμην 19
καὶ ὅτι πόλεμος ἐν Κορίνθῳ οὐκέτι ἦν, ἀλλ' ἤδη παριόντες τὴν

---

dem Orte gl. N. in Thessalien. — *ἀπὸ τῶν σ.*] partitiv, wie öfter der Gen. separat.

16. *τὴν δ. κ.*] *ὁδόν*. — *Κρεῦσις*] böot. Hafen am korinth. Meerbusen. — *καὶ μάλα*] *vel magnopere;* ergänze vor *καί* ein *ἀγανακτοῦντας*. — *πότερά ποτε*] ***utrum tandem.*** — *ἤγαγε . . . ἀπῆλθε*] Im D. Plusquamperf., vgl. § 15 *μείνας πάλιν ἀπεχώρησε*.

17. *ἀπιόντι κτλ.*] ausführliche Schilderung des in § 16 angedeuteten *ἀπῆγε*. — *ἐξαίσιος*] *ὑπὲρ αἶσαν*, „ungewöhnlich stark". — *σημαίνειν*] absolut = *σημεῖον εἶναι*. — *μελλόντων*] *γενήσεσθαι*, die Schlacht bei Leuktra unter Kleombrotos' Befehl. — *ἀτάρ*] vgl. 3, 7. — *καθῆκον*] „sich hinabziehend". — *αὐτοῖς*] „samt". — *ὅπλα*] metonym. für *ἀσπίδας*, vgl. § 18. — *ἀφαρπασθέντα*] *ἤδη*; das Part. Pass. zeitlich ausmalend mehr als das üblichere Partic. Akt. *ἀφαρπάσας*. — *εἰσήλασε*] schliefslich.

18. *ἔνθεν*] terminus a quo; sc. *ἀπιόντες*. — *ὑπτίας*] ***resupinas.*** — *Αἰγόσθενα*] Flecken in Megaris. — *ἐλθόντες*] *ἄνω*. — *ἐκομίσαντο*] Med. des Interesses. — *ὡς ἐδύναντο*] zur Sache vgl. § 17 *αὐτοῖς σκεύεσι*.

19. *τὴν ῥώμην . . . καὶ ὅτι*] Koordin. eines Objektsnomens und Objektssatzes. — *ἐν Κορίνθῳ ἦν*] „blieb auf K. beschränkt", wie vor dem Frieden

Ἀττικὴν οἱ Λακεδαιμόνιοι εἰς τὰς Θήβας ἐνέβαλλον, οὕτως ἐφοβοῦντο*, ὥστε καὶ τὼ δύο στρατηγώ, ὣ συνηπιστάσθην τὴν τοῦ Μέλωνος ἐπὶ τοὺς περὶ Λεοντιάδην ἐπανάστασιν, κρίναντες τὸν μὲν ἀπέκτειναν, τὸν δ', ἐπεὶ οὐχ ὑπέμεινεν, ἐφυγάδευσαν.

20 Οἱ δ' αὖ Θηβαῖοι καὶ αὐτοὶ φοβούμενοι, εἰ μηδένες ἄλλοι ἢ αὐτοὶ πολεμήσοιεν τοῖς Λακεδαιμονίοις, τοιόνδε εὑρίσκουσι μηχάνημα. πείθουσι τὸν ἐν ταῖς Θεσπιαῖς ἁρμοστὴν Σφοδρίαν, χρήματα δόντες, ὡς ὑπωπτεύετο, ἐμβαλεῖν εἰς τὴν Ἀττικήν, ἵν' ἐκπολεμήσειε τοὺς Ἀθηναίους πρὸς τοὺς Λακεδαιμονίους. κἀκεῖνος πειθόμενος αὐτοῖς, προσποιησάμενος τὸν Πειραιᾶ καταλήψεσθαι, ὅτι δὴ ἀπύλωτος ἦν, ἦγεν ἐκ τῶν Θεσπιῶν πρωὶ δειπνήσαντας τοὺς στρατιώτας, φάσκων πρὸ ἡμέρας κατανύσειν εἰς τὸν Πειραιᾶ.
21 Θριᾶσι δ' αὐτῷ ἡμέρα ἐπεγένετο, καὶ οὐδὲν ταύτῃ ἔτι προῄει, ὡς οὐκ ἦν λαθεῖν, ἀλλ' ἐπεὶ ἀπετράπετο, βοσκήματα διήρπασε καὶ οἰκίας ἐπόρθησεν. τῶν δ' ἐντυχόντων τινὲς τῆς νυκτὸς φεύγοντες εἰς τὸ ἄστυ ἀπήγγελλον τοῖς Ἀθηναίοις, ὅτι στράτευμα πάμπολυ προσίοι. οἱ μὲν δὴ ταχὺ ὁπλισάμενοι καὶ ἱππεῖς καὶ ὁπλῖται ἐν
22 φυλακῇ τῆς πόλεως ἦσαν. τῶν δὲ Λακεδαιμονίων καὶ πρέσβεις ἐτύγχανον Ἀθήνησιν ὄντες παρὰ Καλλίᾳ τῷ προξένῳ Ἐτυμοκλῆς τε καὶ Ἀριστόλοχος καὶ Ὤκυλλος· οὓς οἱ Ἀθηναῖοι, ἐπεὶ τὸ πρᾶγμα ἠγγέλθη, συλλαβόντες ἐφύλαττον, ὡς καὶ τούτους συνεπιβουλεύοντας. οἱ δὲ ἐκπεπληγμένοι τε ἦσαν τῷ πράγματι καὶ ἀπελογοῦντο, ὡς οὐκ ἄν ποτε οὕτω μῶροι ἦσαν, ὡς, εἰ ᾔδεσαν

---

des Antalcidas. — ἐνέβαλλον] iterativ. — τὼ στρατηγώ] vgl. § 9. 10. — συνηπιστάσθην] vgl. § 2. — κρίναντες] wegen eigenmächtigen Vorgehens.

20. καὶ αὐτοί] Gegensatz § 19 οἱ Ἀθην. οὕτως ἐφοβοῦντο. — φοβούμενοι] μή τι πάθοιεν. — δόντες] P. explic. „für“. — ὡς ὑπωπτεύετο] bezieht nur auf χρ. δόντες. — ἐκπολεμήσειε] transit. = ἐκπολεμώσειεν. — προσποιησάμενος] hier *profiteri* „sich anmaſsen“, nicht streng *simulare*, was der Sache widerspräche; in diesem Sinne auch φάσκων. — ἀπύλωτος] die IV, 8, 10 erwähnte Befestigung war nicht vollständig. — πρωί] *tempestive*, nicht *mane*. — κατανύσειν] τὴν ὁδόν, vgl. § 49.

21. Θριᾶσι] Lokativform von Θρία, att. Demos bei Eleusis. — ἐπεγένετο] überraschend. — ἐντυχόντων] natürlich noch während des προϊέναι, vgl. τῆς νυκτός. — ἐν φυλακῇ] natürlich ohne daſs es jetzt noch zum Kampfe kam; vgl. ἀπετράπετο.

22. καὶ πρέσβεις] „obendrein G.“, im Gegensatz zu der ersten Vereitelung der thebanischen Intriguen. — πρόξενος] Staatsgastfreund, d. i. Vertreter fremder Staatsinteressen in seiner Stadt, etwa dem Konsul im modernen Sinne entsprechend. — οὐκ ἂν ἦσαν]

καταλαμβανόμενον τὸν Πειραιᾶ, ἐν τῷ ἄστει ἂν ὑποχειρίους αὐτοὺς παρεῖχον, καὶ ταῦτα παρὰ τῷ προξένῳ, οὗ τάχιστ᾽ ἂν εὑρέθησαν. ἔτι δ᾽ ἔλεγον, ὡς εὔδηλον καὶ τοῖς Ἀθηναίοις ἔσοιτο, ὅτι οὐδ᾽ ἡ 23 πόλις τῶν Λακεδαιμονίων ταῦτα συνῄδει. Σφοδρίαν γὰρ εὖ εἰδέναι ἔφασαν, ὅτι ἀπολωλότα πεύσοιντο ὑπὸ τῆς πόλεως. κἀκεῖνοι μὲν κριθέντες μηδὲν συνειδέναι ἀφείθησαν. οἱ δ᾽ ἔφοροι ἀνεκάλεσάν 24 τε τὸν Σφοδρίαν καὶ ὑπῆγον θανάτου. ἐκεῖνος μέντοι φοβούμενος οὐχ ὑπήκουσεν· ὅμως δὲ καίπερ οὐχ ὑπακούων εἰς τὴν κρίσιν ἀπέφυγεν. καὶ πολλοῖς ἔδοξεν αὕτη δὴ ἀδικώτατα ἐν Λακεδαίμονι ἡ δίκη κριθῆναι. ἐγένετο δὲ τοῦτο τὸ αἴτιον.

Ἦν υἱὸς τῷ Σφοδρίᾳ, Κλεώνυμος ὄνομα, ἡλικίαν τε ἔχων τὴν 25 ἄρτι ἐκ παίδων καὶ ἅμα κάλλιστός τε καὶ εὐδοκιμώτατος τῶν ἡλίκων. τούτου δὲ ἐρῶν ἐτύγχανεν Ἀρχίδαμος ὁ Ἀγησιλάου. οἱ μὲν οὖν τοῦ Κλεομβρότου φίλοι, ἅτε ἑταῖροι ὄντες τῷ Σφοδρίᾳ, ἀπολυτικῶς αὐτοῦ εἶχον, τὸν δέ γε Ἀγησίλαον καὶ τοὺς ἐκείνου φίλους ἐφοβοῦντο καὶ τοὺς διὰ μέσου δέ· δεινὰ γὰρ ἐδόκει πεποιηκέναι. ἐκ τούτου δὴ ὁ μὲν Σφοδρίας εἶπε πρὸς τὸν Κλεώνυμον· 26 Ἔξεστί σοι, ὦ υἱέ, σῶσαι τὸν πατέρα, δεηθέντι Ἀρχιδάμου εὐμενῆ Ἀγησίλαον ἐμοὶ εἰς τὴν κρίσιν παρασχεῖν. ὁ δὲ ἀκούσας

---

ergänze den irrealen Vordersatz *εἰ καὶ ἐφθόνουν τοῖς Ἀθηναίοις*. — *ὡς ... ἂν ... παρεῖχον*] = *ὥστε ἁ. π.* Somit ist das zweite irreale Satzverhältnis dem ersten konsekutiv untergeordnet. — *καταλαμβανόμενον*] P. de conatu. — *καὶ ταῦτα*] „noch dazu“.

23. *καὶ τοῖς Ἀθ.*] Gegens. *οὐ μόνον αὐτοῖς*. — *οὐδ᾽ ἡ πόλις*] Gegens. *αὐτοὶ οἱ πρέσβεις*. — *συνῄδει*] *Σφοδρίᾳ*. — *Σφοδρίαν*] mit Betonung an die Spitze gestellt: „was ... betrifft“?; das zugehörige Prädikat ist *ἀπολωλότα*. — *μηδέν*] Die Negation *μή* bei Verben der gerichtlichen Bedeutung erweist diese als Verba imperandi „zu Recht erkennen, dafs nicht“ = nicht gelten lassen, dafs.

24. *ὑπακούων*] prägn. im Sinne von *ὑποστάς*. — *ἀπέφυγε*] **absolutus est**. — *ἀδικώτατα*] Adv. zu *κριθῆναι* mit Betonung vorangestellt. — *τοῦτο*] vor längeren Auseinandersetzungen zuweilen für *τόδε*, hier gleichsam auf *αὕτη* zurückweisend, gehört zum Subj. — *ἐγένετο*] „war eingetreten“.

25. *ἄρτι ἐκ παίδων*] „unmittelbar auf die Knabenzeit folgend“. — *ἔχων*] *τότε*. — *καὶ κάλλιστος*] *ὤν*. — *φίλοι ... ἑταῖροι*] weist auf die Parteigegensätze der zwei Könige in Sparta. — *ἀπολυτικῶς εἶχον*] = *ἀπολυτικοὶ ἦσαν*; beachte die Kasusrektion der Verbaladjektiva der aktiven Fähigkeit *-ικός*. — *καὶ ... δέ*] „und selbst“. — *τοὺς διὰ μέσου*] „die neutrale Mittelpartei“; *διά* mit Gen. drückt häufig ein Verhältnis aus, z. B. *διὰ μάχης*. — *ἐδόκει*] *Σφοδρίας*. — *δεινά*] „Unerhörtes“.

ἐτόλμησεν ἐλθεῖν πρὸς τὸν Ἀρχίδαμον καὶ ἐδεῖτο σωτῆρα αὐτῷ τοῦ
27 *πατρὸς γενέσθαι. ὁ μέντοι Ἀρχίδαμος ἰδὼν μὲν τὸν Κλεώνυμον κλαίοντα συνεδάκρυε παρεστηκώς· ἀκούσας δὲ δεομένου ἀπεκρίνατο· Ἀλλ', ὦ Κλεώνυμε, ἴσθι μέν, ὅτι ἐγὼ τῷ ἐμῷ πατρὶ οὐδὲ ἀντιβλέπειν δύναμαι, ἀλλὰ κἄν τι βούλωμαι διαπράξασθαι ἐν τῇ πόλει, πάντων μᾶλλον ἢ τοῦ πατρὸς δέομαι· ὅμως δ', ἐπεὶ σὺ κελεύεις, νόμιζε πᾶσάν με προθυμίαν ἕξειν ταῦτά σοι πραχθῆναι.*
28 *καὶ τότε μὲν δὴ ἐκ τοῦ φιλιτίου εἰς τὸν οἶκον ἐλθὼν ἀνεπαύετο· τοῦ δ' ὄρθρου ἀναστὰς ἐφύλαττε, μὴ λάθοι αὐτὸν ὁ πατὴρ ἐξελθών. ἐπεὶ δὲ εἶδεν αὐτὸν ἐξιόντα, πρῶτον μέν, εἴ τις τῶν πολιτῶν παρῆν, παρίει τούτους διαλέγεσθαι αὐτῷ, ἔπειτα δ' εἴ τις ξένος, ἔπειτα δὲ καὶ τῶν θεραπόντων τῷ δεομένῳ παρεχώρει. τέλος δ', ἐπεὶ ἀπὸ τοῦ Εὐρώτα ἀπιὼν ὁ Ἀγησίλαος εἰσῆλθεν οἴκαδε, ἀπιὼν ᾤχετο οὐδὲ προσελθών. καὶ τῇ ὑστεραίᾳ δὲ ταὐτὰ*
29 *ταῦτα ἐποίησεν. ὁ δ' Ἀγησίλαος ὑπώπτευε μὲν ὧν ἕνεκεν ἐφοίτα, οὐδὲν μέντοι ἠρώτα, ἀλλ' εἴα αὐτόν. ὁ δ' αὖ Ἀρχίδαμος ἐπεθύμει μέν, ὥσπερ εἰκός, ὁρᾶν τὸν Κλεώνυμον· ὅπως μέντοι ἔλθοι πρὸς αὐτὸν μὴ διειλεγμένος τῷ πατρὶ περὶ ὧν ἐκεῖνος ἐδεήθη, οὐκ εἶχεν. οἱ δὲ ἀμφὶ τὸν Σφοδρίαν οὐχ ὁρῶντες τὸν Ἀρχίδαμον ἰόντα, πρόσθεν δὲ θαμίζοντα, ἐν παντὶ ἦσαν, μὴ λελοιδορημένος ὑπὸ*
30 *Ἀγησιλάου εἴη. τέλος μέντοι ὁ Ἀρχίδαμος ἐτόλμησε προσελθεῖν καὶ εἰπεῖν· Ὦ πάτερ, Κλεώνυμός με κελεύει σου δεηθῆναι σῶσαί οἱ τὸν πατέρα· καὶ ἐγὼ ταὐτά σου δέομαι, εἰ δυνατόν. ὁ δ'*

---

26. *ἐτόλμησεν*] *sustinuit.* — *αὐτῷ*] zuliebe.

27. *ἀλλά*] exhortativ. — *ἀντιβλέπειν*] gerade ins Antlitz. — *μᾶλλον*] *potius.* — *πάντων*] *τῶν ἄλλων.* — *πᾶσαν*] prädik. „voll", d. i. nach jeder Richtung. — *σοι*] wie vorher *αὐτῷ.* — *πραχθῆναι*] ohne Artikel nach *προθυμίαν* im Sinne von *προθυμεῖσθαι.*

28. *φιλίτιον*] = *φιδίτιον*, Ort der *coena*, der gemeinsamen Mahlzeit. — *ὄρθρου*] Kas. des Zeitraums. — *ἐφύλαττε*] „aufpassen". — *παρεχώρει*] *τοῦ διαλέγεσθαι, concedebat;* ähnlich vorher *παρίει.* Nach Plutarch setzte A. dieses unentschlossene Verhalten drei bis vier Tage fort. — *Εὐρώτα*] wo der Spielplatz der Jugend und der Versammlungsplatz der Alten war. — *οὐδὲ προσελθών*] was er doch bisher, wenn auch schweigend, gethan.

29. *ἐφοίτα*] *ἠκολούθει* Plutarch. — *εἴα*] *φοιτᾶν μηδὲ προσιόντα.* — *ὅπως . . . ἔλθοι*] Mod. deliberativus. — *οὐχ ὁρῶντες*] nach Analogie von *οὔ φημι, οὐ νομίζω, οὐκ ἐῶ* u. a. — *ἰόντα*] *πρὸς αὐτόν.* — *πρόσθεν δέ*] im D. Subordination. — *θαμίζοντα*] Part. Imperf. — *ἐν παντί*] sc. *ἀθυμίας* = *ἐν μεγίστῳ φόβῳ.*

30. *εἰ δυνατόν*] *σῶσαι.* — *ὅπως . . .*

ἀπεκρίνατο· Ἀλλὰ σοὶ μὲν ἔγωγε συγγνώμην ἔχω· αὐτὸς μέντοι,
ὅπως ἂν συγγνώμης τύχοιμι παρὰ τῆς πόλεως ἄνδρα μὴ κατα-
γιγνώσκων ἀδικεῖν οἷς ἐχρηματίσατο ἐπὶ κακῷ τῆς πόλεως, οὐχ
ὁρῶ. ὁ δὲ τότε μὲν πρὸς ταῦτα οὐδὲν εἶπεν, ἀλλ' ἡττηθεὶς τοῦ 31
δικαίου ἀπῆλθεν. ὕστερον δὲ ἢ αὐτὸς νοήσας ἢ διδαχθεὶς ὑπό
του εἶπεν ἐλθών· Ἀλλ' ὅτι μέν, ὦ πάτερ, εἰ μηδὲν ἠδίκει Σφο-
δρίας, ἀπέλυσας ἂν αὐτόν, οἶδα· νῦν δέ, εἰ ἠδίκηκέ τι, ἡμῶν ἕνεκα
συγγνώμης παρὰ σοῦ τυχέτω. ὁ δὲ εἶπεν· Οὐκοῦν ἂν μέλλῃ καλὰ
ταῦθ' ἡμῖν εἶναι, οὕτως ἔσται. ὁ μὲν δὴ ταῦτ' ἀκούσας μάλα
δύσελπις ὢν ἀπῄει. τῶν δὲ τοῦ Σφοδρίου φίλων τις διαλεγόμενος 32
Ἐτυμοκλεῖ εἶπεν, Ὑμεῖς μέν, οἶμαι, ἔφη, πάντες οἱ Ἀγησιλάου
φίλοι ἀποκτενεῖτε τὸν Σφοδρίαν. καὶ ὁ Ἐτυμοκλῆς, Μὰ Δία οὐκ
ἄρα ταὔτ', ἔφη, ποιήσομεν Ἀγησιλάῳ, ἐπεὶ ἐκεῖνός γε πρὸς πάντας,
ὅσοις διείλεκται, ταὐτὰ λέγει, μὴ ἀδικεῖν μὲν Σφοδρίαν ἀδύνατον
εἶναι· ὅστις μέντοι παῖς τε ὢν καὶ παιδίσκος καὶ ἡβῶν πάντα
τὰ καλὰ ποιῶν διετέλεσε, χαλεπὸν εἶναι τοιοῦτον ἄνδρα ἀποκτιν-
νύναι· τὴν γὰρ Σπάρτην τοιούτων δεῖσθαι στρατιωτῶν. ὁ οὖν 33
ἀκούσας ταῦτα ἀπήγγειλε τῷ Κλεωνύμῳ. ὁ δ' ἡσθεὶς εὐθὺς ἐλθὼν
πρὸς τὸν Ἀρχίδαμον εἶπεν· Ὅτι μὲν ἡμῶν ἐπιμελῇ, ἤδη ἴσμεν·
εὖ δ' ἐπίστω, Ἀρχίδαμε, ὅτι καὶ ἡμεῖς πειρασόμεθα ἐπιμελεῖσθαι,
ὡς μήποτε σὺ ἐπὶ τῇ ἡμετέρᾳ φιλίᾳ αἰσχυνθῇς. καὶ οὐκ ἐψεύ-
σατο, ἀλλὰ καὶ ζῶν ἅπαντ' ἐποίει, ὅσα καλὰ ἐν τῇ Σπάρτῃ, καὶ
ἐν Λεύκτροις πρὸ τοῦ βασιλέως μαχόμενος σὺν Δείνωνι τῷ πολε-

ἂν . . . τύχοιμι] der hypoth. Vordersatz im Particip. — *καταγιγνώσκων*] absolut: „das Schuldig aussprechen“; statt des Genetivs tritt der Acc. c. Inf. ein.

31. *τοῦ δικαίου*] „Rechtsgrund“, Genet. der Superiorität. — *νοήσας*] ingressiv „auf den Ged. kommend“. — *ἠδίκει*] „im Unrecht sein“ = Plusquamperf. „sich vergangen haben“. — *οὐκοῦν*] ***nonne***, eigentlich bejahende Fragepartikel, behält auch ohne Fragezeichen ihren affirmativen Sinn, etwa „nicht wahr, so wird's sein, vorausgesetzt, daſs ...“; dagegen *οὔκουν* = ***non igitur***. — *καλά*] ***honestum***.

32. *Ἐτυμοκλεῖ*] vgl. § 22. 23. — *ἀποκτενεῖτε*] prägn. *καταψηφίζεσθαι θάνατον*. — *οὐκ ἄρα*] ***non igitur***. — *ταὔτ'*] *τὰ αὐτά*, die Elision flexibler Wörter nebst Anastrophe tritt in der Prosa erst seit Xenophon häufiger auf. — *γε*] ***quidem***. — *ἀδύνατον εἶναι . . . μή*] ***fieri non posse quin***; gewöhnlich steht *μὴ οὐ* in solchen Wendungen für *μή*. — *Σφοδρίαν*] Subjekt. — *παῖς ... παιδίσκος ... ἡβῶν*] Gegensatz nur *παῖς* und *ἡβῶν*; *παιδίσκος* ist nur nähere Bestimmung zu *παῖς*, ***vel infans***.

33. *οὐκ ἐψεύσατο*] „hielt Wort“. — *ἐν Λεύκτροις*] vorgreifende Bemerkung

μάρχῳ τρὶς πεσὼν πρῶτος τῶν πολιτῶν ἐν μέσοις τοῖς πολεμίοις ἀπέθανεν. καὶ ἠνίασε μὲν εἰς τὰ ἔσχατα Ἀρχίδαμον, ὡς δ' ὑπέσχετο, οὐ κατῄσχυνεν, ἀλλὰ μᾶλλον ἐκόσμησεν· τοιούτῳ μὲν δὴ τρόπῳ Σφοδρίας ἀπέφυγεν.

34 Τῶν μέντοι Ἀθηναίων οἱ βοιωτιάζοντες ἐδίδασκον τὸν δῆμον, ὡς οἱ Λακεδαιμόνιοι οὐχ ὅπως τιμωρήσαιντο, ἀλλὰ καὶ ἐπαινέσειαν τὸν Σφοδρίαν, ὅτι ἐπεβούλευσε ταῖς Ἀθήναις. καὶ ἐκ τούτου οἱ Ἀθηναῖοι ἐπύλωσάν τε τὸν Πειραιᾶ ναῦς τε ἐναυπηγοῦντο τοῖς
35 τε Βοιωτοῖς πάσῃ προθυμίᾳ ἐβοήθουν. οἱ δ' αὖ Λακεδαιμόνιοι φρουράν τε ἔφηναν ἐπὶ τοὺς Θηβαίους καὶ τὸν Ἀγησίλαον νομίσαντες φρονιμώτερον ἂν σφίσι τοῦ Κλεομβρότου ἡγεῖσθαι ἐδέοντο αὐτοῦ ἄγειν τὴν στρατιάν. ὁ δὲ εἰπών, ὅτι οὐκ ἔχοι ὃ τῇ πόλει
36 δοκοίη ἀντειπεῖν, παρεσκευάζετο εἰς τὴν ἔξοδον. γιγνώσκων δ', ὅτι, εἰ μή τις προκαταλήψοιτο τὸν Κιθαιρῶνα, οὐ ῥᾴδιον ἔσται εἰς τὰς Θήβας ἐμβαλεῖν, μαθὼν πολεμοῦντας τοὺς Κλειτορίους τοῖς Ὀρχομενίοις καὶ ξενικὸν τρέφοντας, ἐκοινολογήσατο αὐτοῖς, ὅπως
37 προσγένοιτο τὸ ξενικὸν αὐτῷ, εἴ τι δεηθείη. ἐπεὶ δὲ τὰ διαβατήρια ἐγένετο, πέμψας, πρὶν ἐν Τεγέᾳ αὐτὸς εἶναι, πρὸς τὸν ἄρ-

---

des Historikers, vgl. VI, 4, 14. — πρό] *coram.* — τρὶς πεσών] Plutarch Ages., welcher auch hier die Hellenikaquelle benutzte, fügte die zum Erweis der constantia wenig entbehrlichen Worte καὶ τοσαυτάκις ἐξαναστάς hinzu. Das vierte Mal πεσών fällt mit ἀπέθανε zusammen. — ἠνίασε] sc. ἀποθανών. — εἰς τὰ ἔσχατα] ähnlich im D. — ἀλλὰ μᾶλλον] ***immo vero.*** — ἀπέφυγε] τότε; hiermit wird die § 24 durch eine Digression unterbrochene Erzählung wieder aufgenommen.

34. οὐχ ὅπως ... ἀλλὰ καί] ***non modo non ... sed etiam;*** οὐχ ὅπως hebt die Handlung auf, οὐχ ὅτι = ***non modo, non dicam,*** beschränkt nur den Ausdruck. — τιμωρήσαιντο] welchen Modus der Or. recta vertretend? — ἐπαινέσειαν ὅτι ...] sophistische Verdrehung des Motivs § 32 πάντα τὰ καλὰ ποιῶν. — ἐναυπηγοῦντο] behufs Gründung eines neuen Seebundes.

35. φρουρὰν ἔφηναν] vgl. 1, 30. — σφίσι] eth. Dat. — ὅ] = τούτῳ ὅ,τι.

36. γιγνώσκων] = εἰδώς, nach Analogie von ἀκούω, πυνθάνομαι, ἀδικέω u. a. — εἰ προκαταλήψοιτο] Opt. Or. obl. — Κιθαιρῶνα] Grenzgebirge mit Pässen zwischen Attika und Böotien. — μαθών] ist spezielleres Motiv zu ἐκοινολογήσατο, daher ohne das koordinierende καί an das allgemeine Motiv γιγνώσκων angeschlossen; im D. ist das Verb. finit. zwischen beide zu stellen. — Κλείτωρ ... Ὀρχομενός] Städte in Arkadien, erstere im NW., letztere im O. — τί] „zu irgendeinem Zwecke". — δεηθείη] αὐτοῦ.

37. διαβατήρια] sc. ἱερά, Auszugsopfer für Zeus und Athene. — Τεγέα] St. im SO. von Arkadien, Sammelplatz

χοντα τῶν παρὰ τοῖς Κλειτορίοις ξένων καὶ μισθὸν δοὺς μηνὸς ἐκέλευε προκαταλαβεῖν αὐτοὺς τὸν Κιθαιρῶνα. τοῖς δ' Ὀρχομενίοις εἶπεν, ἕως στρατεία εἴη, παύσασθαι τοῦ πολέμου· εἰ δέ τις πόλις στρατιᾶς οὔσης ἔξω ἐπὶ πόλιν στρατεύσοι, ἐπὶ ταύτην ἔφη πρῶτον ἰέναι κατὰ τὸ δόγμα τῶν συμμάχων. ἐπεὶ δὲ ὑπερέ- 38
βαλε τὸν Κιθαιρῶνα, ἐλθὼν εἰς Θεσπιὰς ἐκεῖθεν ὁρμηθεὶς ᾔει ἐπὶ τὴν τῶν Θηβαίων χώραν. εὑρὼν δὲ ἀποτεταφρευμένον τε καὶ ἀπεσταυρωμένον κύκλῳ τὸ πεδίον καὶ τὰ πλείστου ἄξια τῆς χώρας, στρατοπεδευόμενος ἄλλοτ' ἄλλῃ καὶ μετ' ἄριστον ἐξάγων ἐδῄου τῆς χώρας τὰ πρὸς ἑαυτοῦ τῶν σταυρωμάτων καὶ τῆς τάφρου. οἱ γὰρ πολέμιοι, ὅπου ἐπιφαίνοιτο ὁ Ἀγησίλαος, ἀντιπαρῄεσαν αὐτῷ ἐντὸς τοῦ χαρακώματος ὡς ἀμυνούμενοι. καί ποτε ἀποχωροῦντος 39
αὐτοῦ ἤδη τὴν ἐπὶ τὸ στρατόπεδον, οἱ τῶν Θηβαίων ἱππεῖς τέως ἀφανεῖς ὄντες ἐξαίφνης διὰ τῶν ὡδοποιημένων τοῦ χαρακώματος ἐξόδων ἐξελαύνουσι, καὶ οἷα δὴ ἀπιόντων πρὸς δεῖπνον καὶ συσκευαζομένων τῶν πελταστῶν, τῶν δ' ἱππέων τῶν μὲν ἄρτι καταβεβηκότων, τῶν δ' ἔτι καταβαινόντων, ἐπελαύνουσι· καὶ τῶν τε πελταστῶν συχνοὺς κατέβαλον καὶ τῶν ἱππέων Κλέαν καὶ Ἐπικυδίδαν Σπαρτιάτας καὶ τῶν περιοίκων ἕνα, Εὔδικον, καὶ τῶν Θηβαίων τινὰς φυγάδας, οὔπω ἀναβεβηκότας ἐπὶ τοὺς ἵππους.

---

der spartan. Bundesgenossen, vgl. III, 5, 7. — *εἶπεν*] phraseolog. „liefs s.", hier Verb. imperandi. — *ἕως*] beachte den Unterschied der Bedeutungen beim durativen und ingressiven Tempus. — *πρῶτον*] Adv. „vor allem andern". — *ἰέναι*] ohne *ἄν* vertritt als Inf. de conatu das Futurum; Or. recta: *εἰ στρατεύσει … εἶμι*.

38. *τὰ … ἄξια*] *μέρη*. — *ἐξάγων ἐδῄου*] iterativ. — *τῆς χώρας*] abh. von *τὰ* sc. *μέρη*. — *τῶν σταυρωμάτων*] abh. von *πρὸς ἑαυτοῦ*, welches als Adverb loci „diesseits" wie eine Präposition wirkt; eigentlich „auf der ihm zugekehrten Seite der Pfahlschanzen". — *ὅπου*] c. Opt. iterativ.

39. *τὴν ἐπὶ τ. στρ.*] *ὁδόν*. — *τέως*] „einstweilen". — *ἀφανεῖς*] im Hinterhalt. — *ὄντες*] Part. Imperf. — *οἷα δή*] = *ἅτε*. — *συσκευαζομένων*] *πάντα τὰ πρὸς τὸ δεῖπνον ἐπιτήδεια*, sonst meist im Sinne *ὡς εἰς στρατείαν*. — *τ. πελταστῶν … ἱππέων*] Die Peltasten und Reiter bildeten beim Angriff die Vorhut, beim Rückzug die Nachhut; vgl. § 43. 44; sie hatten demgemäfs die am meisten exponierten Teile des Lagers. — *ἄρτι … ἔτι*] vgl. die ganz ähnliche Situation beim Schiffsüberfall 1, 19. — *ἐπελαύνουσι*] der eigentliche Überfall; vorher *ἐξελαύνουσι* der erste Teil desselben, der Ausfall. — *συχνούς*] weil die Peltasten schon zu sehr abgerüstet hatten, während die Reiter teils noch, teils wieder schlagfertig sind. — *φυγάδας*] von der vertriebenen Partei des Leontiades.

40 ὡς δὲ ἀναστρέψας σὺν τοῖς ὁπλίταις ἐβοήθησεν ὁ Ἀγησίλαος, οἵ
τε ἱππεῖς ἤλαυνον ἐναντίον τοῖς ἱππεῦσι καὶ τὰ δέκα ἀφ᾽ ἥβης ἐκ
τῶν ὁπλιτῶν ἔθει σὺν αὐτοῖς. οἱ μέντοι τῶν Θηβαίων ἱππεῖς
ἐῴκεσαν ὑποπεπωκόσι που ἐν μεσημβρίᾳ· ὑπέμενον μὲν γὰρ τοῖς
ἐπελαύνουσιν ὥστ᾽ ἐξακοντίζειν τὰ δόρατα, ἐξικνοῦντο δ᾽ οὔ. ἀνα-
41 στρέφοντες δὲ ἐκ τοσούτου ἀπέθανον αὐτῶν δώδεκα. ὡς δὲ κατ-
έγνω ὁ Ἀγησίλαος, ὅτι ἀεὶ μετ᾽ ἄριστον καὶ οἱ πολέμιοι ἐφαί-
νοντο, θυσάμενος ἅμα τῇ ἡμέρᾳ ἦγεν ὡς οἷόν τε τάχιστα καὶ
παρῆλθε δι᾽ ἐρημίας εἴσω τῶν χαρακωμάτων. ἐκ δὲ τούτου τὰ
ἐντὸς ἔτεμνε καὶ ἔκαε μέχρι τοῦ ἄστεος. ταῦτα δὲ ποιήσας καὶ
πάλιν ἀποχωρήσας εἰς Θεσπιὰς ἐτείχισε τὸ ἄστυ αὐτοῖς· καὶ ἐκεῖ
μὲν Φοιβίδαν κατέλιπεν ἁρμοστήν, αὐτὸς δὲ ὑπερβαλὼν πάλιν εἰς
τὰ Μέγαρα τοὺς μὲν συμμάχους διῆκε, τὸ δὲ πολιτικὸν στράτευμα
ἐπ᾽ οἴκου ἀπήγαγεν.

42 Ἐκ δὲ τούτου ὁ Φοιβίδας ἐκπέμπων μὲν ληστήρια ἔφερε καὶ
ἦγε τοὺς Θηβαίους, καταδρομὰς δὲ ποιούμενος ἐκακούργει τὴν

---

40. ἀναστρέψας] „Kehrt m.“, d. h. die Front gegen Theben nehmen. — τὰ δέκα ἀφ᾽ ἥβης] das erste Aufgebot, die 20- bis 30jährigen. — ἔθει] im Sturmschritt. — ὑποπεπωκόσι που ἐν μησημβρίᾳ] Leute, die am hellen Mittag schon einigermafsen angetrunken, d. i. unzurechnungsfähig sind. Die Thebaner, nach einem eben noch tollkühnen Angriff plötzlich eingeschüchtert, verloren schnell den Kopf und Mut zum Widerstand. — τοῖς ἐπελαύνουσιν] gilt jetzt von den noch kurz vorher Überfallenen; der Dat. bei ὑπέμενον ungewöhnlich statt des Acc. — ὥστε] τοσοῦτον ὥστε räumlich noch so weit, dafs es thunlich war. — ἀναστρέφοντες] konzessiv; man erwartet eigentlich ἀναστρεφόντων, da ἀπέθανον δώδεκα sich als Teil nicht mit dem das Ganze bezeichnenden Particip deckt; doch ist die Konstruktion analog der partitiven Appos.; umgekehrt 3, 13.

41. κατέγνω] intensiv; die Bedeutung und Rektion der Präposition ist erloschen. — μετ᾽ ἄριστον] „erst nach d. F.“ — καὶ οἱ π.] „auch d. F.“, wie er selbst. — ἅμα τῇ ἡμέρᾳ] Gegens. zu μετ᾽ ἄριστον. A. ändert also seine Methode. — δι᾽ ἐρημίας] sc. πολεμίων, vgl. III, 4, 21 „v. F. unbesetztes Gebiet“. — ἄστεος] natürlich Theben. — αὐτοῖς] τοῖς Θεσπιεῦσιν. Als verschwiegenes Motiv zu ἐτείχισε und ἀπήγαγε ist wohl ein imponierender Widerstand des Chabrias sowie überhaupt die Erfolglosigkeit des Angriffs anzunehmen. — ὑπερβαλών] τὸν Κιθαιρῶνα, vgl. § 38. — διῆκε . . . ἀπήγαγε] hier die gewöhnliche vollständige Formel für die Beendigung des Feldzugs; die verkürzte Formel § 59 wie III, 2, 24.

42. μὲν ... δέ] nicht adversativ. — ληστήρια] „Raubzüge“. — ἔφερε καὶ ἦγε] tote und lebende Beute = brandschatzen. — καταδρομάς] regelmäfsig

χώραν. οἱ δ᾽ αὖ Θηβαῖοι ἀντιτιμωρεῖσθαι βουλόμενοι στρατεύουσι
πανδημεὶ ἐπὶ τὴν Θεσπιέων χώραν. ἐπεὶ δ᾽ ἦσαν ἐν τῇ χώρᾳ, ὁ
Φοιβίδας σὺν τοῖς πελτασταῖς προσκείμενος οὐδαμῶς εἴα αὐτοὺς
ἀποσκεδάννυσθαι τῆς φάλαγγος· ὥστε οἱ Θηβαῖοι μάλα ἀχθόμενοι
τῇ συμβολῇ θάττονα τὴν ἀποχώρησιν ἐποιοῦντο, καὶ οἱ ὀρεωκόμοι
δὲ ἀπορριπτοῦντες ὃν εἰλήφεσαν καρπὸν ἀπήλαυνον οἴκαδε· οὕτω
δεινὸς φόβος τῷ στρατεύματι ἐνέπεσεν. ὁ δὲ ἐν τούτῳ Θρασέως 43
ἐπέκειτο, περὶ ἑαυτὸν μὲν ἔχων τὸ πελταστικόν, τὸ δ᾽ ὁπλιτικὸν
ἐν τάξει ἕπεσθαι κελεύσας. καὶ ἐν ἐλπίδι ἐγένετο τροπὴν τῶν
ἀνδρῶν ποιήσασθαι· αὐτός τε γὰρ ἐρρωμένως ἡγεῖτο καὶ τοῖς
ἄλλοις ἅπτεσθαι τῶν ἀνδρῶν παρεκελεύετο καὶ τοὺς τῶν Θεσπιέων
ὁπλίτας ἀκολουθεῖν ἐκέλευεν. ὡς δὲ ἀποχωροῦντες οἱ τῶν Θηβαίων 44
ἱππεῖς ἐπὶ νάπῃ ἀδιαβάτῳ ἐγίγνοντο, πρῶτον μὲν ἠθροίσθησαν,
ἔπειτα δὲ ἀνέστρεφον διὰ τὸ ἀπορεῖν, ὅπῃ διαβαῖεν. οἱ μὲν οὖν
πελτασταὶ ὀλίγοι ὄντες οἱ πρῶτοι φοβηθέντες αὐτοὺς ἔφυγον· οἱ
δὲ ἱππεῖς αὖ τοῦτο ὡς εἶδον, ἐδιδάχθησαν ὑπὸ τῶν φευγόντων
ἐπιθέσθαι αὐτοῖς. καὶ ὁ μὲν δὴ Φοιβίδας καὶ δύο ἢ τρεῖς μετ᾽ 45
αὐτοῦ μαχόμενοι ἀπέθανον, οἱ δὲ μισθοφόροι τούτου γενομένου
πάντες ἔφυγον. ἐπεὶ δὲ φεύγοντες ἀφίκοντο πρὸς τοὺς ὁπλίτας
τῶν Θεσπιέων, κἀκεῖνοι, μάλα πρόσθεν μέγα φρονοῦντες μὴ ὑπεί-
ξειν τοῖς Θηβαίοις, ἔφυγον, οὐδὲν ἔτι πάνυ διωκόμενοι· καὶ γὰρ
ἦν ἤδη ὀψέ. καὶ ἀπέθανον μὲν οὐ πολλοί, ὅμως δὲ οὐ πρόσθεν
ἔστησαν οἱ Θεσπιεῖς, πρὶν ἐν τῷ τείχει ἐγένοντο. ἐκ δὲ τούτου 46

---

geordnete Streifzüge. — *συμβολῇ*] mit Phoebidas, worauf sie bei ihrem Raubzuge nicht in dieser Weise gefaſst gewesen waren. — *θάττονα*] sc. *ἢ βάδην*, vgl. § 53. — *ὀρεωκόμοι*] „Maultiertreiber“.

43. *ὁ δέ*] *Φοιβίδας*. — *καὶ ... ἐγένετο*] *et profecto*. — *ποιήσασθαι*] ohne *ἄν* nach *ἐλπίδι* nach Analogie der Verba cupiendi, vgl. § 7. — *ἅπτεσθαι*] „sich an die Fersen heften“.

44. *διαβαῖεν*] welchen Modus der Or. recta vertretend? — *οἱ πρῶτοι*] *qui in primo agmine erant;* welchen Sinn würde *πρῶτοι* ohne Artikel geben? — *φοβηθέντες*] streng ingressiv. — *ἱππεῖς*] der feindlichen Thebaner. — *ἐδιδάχθησαν*] metaphorisch „förmlich darauf hingewiesen“.

45. *μισθοφόροι*] die § 37 erwähnten *ξένοι*. — *πρόσθεν μέγα φρονοῦντες*] konzessives Part. Imperf., zugleich prägnant im Sinne von *ἐλπίζοντες*. — *οὐδὲν ἔτι πάνυ*] pleonast. „ganz und gar nicht mehr“: *οὐ πάνυ* = *πάνυ οὐ*, analog *οὔ φημι*, *οὐ δεῖ* u. a. — *διωκόμενοι*] konzessiv. — *πρίν*] mit Indik. Aor. „bis“ z. Bez., daſs der Anfang der Nebenhandlung mit dem Ende der Haupthandlung zusammenfällt.

πάλιν αὖ τὰ τῶν Θηβαίων ἀνεζωπυρεῖτο, καὶ ἐστρατεύοντο εἰς Θεσπιὰς καὶ εἰς τὰς ἄλλας τὰς περιοικίδας πόλεις. ὁ μέντοι δῆμος ἐξ αὐτῶν εἰς τὰς Θήβας ἀπεχώρει· ἐν πάσαις γὰρ ταῖς πόλεσι δυναστεῖαι καθειστήκεσαν ὥσπερ ἐν Θήβαις· ὥστε καὶ οἱ ἐν ταύταις ταῖς πόλεσι φίλοι τῶν Λακεδαιμονίων βοηθείας ἐδέοντο. μετὰ δὲ τὸν Φοιβίδα θάνατον πολέμαρχον μὲν καὶ μόραν οἱ Λακεδαιμόνιοι κατὰ θάλατταν πέμψαντες τὰς Θεσπιὰς ἐφύλαττον.

47 Ἐπεὶ δὲ τὸ ἔαρ ἐπέστη*, πάλιν ἔφαινον φρουρὰν οἱ ἔφοροι εἰς τὰς Θήβας καὶ τοῦ Ἀγησιλάου, ᾗπερ τὸ πρόσθεν, ἐδέοντο ἡγεῖσθαι. ὁ δ' ὑπὲρ τῆς ἐμβολῆς ταὐτὰ γιγνώσκων, πρὶν καὶ τὰ διαβατήρια θύεσθαι, πέμψας πρὸς τὸν ἐν Θεσπιαῖς πολέμαρχον ἐκέλευε προκαταλαβεῖν τὸ ὑπὲρ τῆς κατὰ τὸν Κιθαιρῶνα ὁδοῦ
48 ἄκρον καὶ φυλάττειν, ἕως ἂν αὐτὸς ἔλθῃ. ἐπεὶ δὲ τοῦτο ὑπερβαλὼν ἐν ταῖς Πλαταιαῖς ἐγένετο, πάλιν προσεποιήσατο εἰς τὰς Θεσπιὰς πρῶτον ἰέναι καὶ πέμπων ἀγοράν τε ἐκέλευε παρασκευάζειν καὶ τὰς πρεσβείας ἐκεῖ περιμένειν· ὥστε οἱ Θηβαῖοι ἰσχυρῶς
49 τὴν πρὸς Θεσπιῶν ἐμβολὴν ἐφύλαττον. ὁ δὲ Ἀγησίλαος τῇ ὑστεραίᾳ ἅμα τῇ ἡμέρᾳ θυσάμενος ἐπορεύετο τὴν ἐπ' Ἐρυθράς· καὶ

---

46. *πάλιν αὖ*] ersteres bestimmt das Verb, letzteres den Wechsel des Subjekts, vgl. 1, 5. — *ἀνεζωπυρεῖτο*] „neu beleben", Grundbedeutung: ein lebendiges Feuer neu anfachen. — *περιοικίδας πολ.*] wo laced. Besatzungen und Harmosten standen. — *δῆμος ... ἀπεχώρει*] nach dem z. Zeit demokratisch regierten Theben. — *δυναστεῖαι*] lakonisierende Oligarchenherrschaften. — *καθειστήκεσαν*] Im D. Imperf. — *ὥσπερ ἐν Θήβαις*] sc. *πρότερον ἐπὶ Λεοντιάδου*; damals nicht mehr, vgl. § 11 bis 13. — *ὥστε*] Folge von *ἀπεχώρει*, durch den Zwischensatz *ἐν πάσαις ... Θήβαις* getrennt. — *κατὰ θάλατταν*] über den krissäischen Meerbusen, infolge der Wiederbesetzung des Kithäron.

47. *φρουρὰν ἔφαινον*] vgl. 1, 30. — *ἐδέοντο*] die „Bitte" ist motiviert durch das hohe Dienstalter des Königs, vgl. § 12; von dem jüngeren Kleombrotos dagegen heifst es *ἐκπέμπουσιν* § 12, *ἐκέλευον* § 59. — *ὑπὲρ τῆς ἐμβολῆς*] *ὑπέρ* im Sinne des allgemeineren *περί* bei Späteren gewöhnlich. — *ταὐτά*] *ὡς τὸ πρόσθεν* § 36. — *πρὶν καί*] „noch ehe". — *διαβατήρια*] § 37. — *προκαταλαβεῖν*] *πρὶν αὐτὸν ἐλθεῖν*. — *ὑπὲρ τῆς ὁδοῦ*] im lokalen Sinne.

48. *προσεποιήσατο*] *simulavit*. — *πάλιν*] verbinde mit *πρῶτον ἰέναι*. — *ἰέναι*] Inf. de conatu. — *τὰς πρεσβείας*] *τὰς ἀπὸ τῶν Ἑλλήνων*. — *ἐκεῖ*] *ἐν Θεσπιαῖς*, auch zu *παρασκευάζειν* zu denken. — *ὥστε*] *οὕτως ἠπατημένοι*. — *ἐμβολήν*] lokal „Pafs", vgl. IV, 3, 10.

49. *Ἐρυθραί*] St. am Kithäron in Böotien, im O. von Platäa, also in halb entgegengesetzter Richtung von

ὡς στρατεύματι δυοῖν ἡμέραιν ὁδὸν ἐν μιᾷ κατανύσας ἔφθασεν ὑπερβὰς τὸ κατὰ Σκῶλον σταύρωμα, πρὶν ἐλθεῖν τοὺς Θηβαίους ἀπὸ τῆς φυλακῆς, καθ᾽ ἣν τὸ πρόσθεν εἰσῆλθεν. τοῦτο δὲ ποιήσας τὰ πρὸς ἕω τῆς τῶν Θηβαίων πόλεως ἐδῄου μέχρι τῆς Ταναγραίων· ἔτι γὰρ τότε καὶ τὴν Τάναγραν οἱ περὶ Ὑπατόδωρον, φίλοι ὄντες τῶν Λακεδαιμονίων, εἶχον· καὶ ἐκ τούτου δὴ ἀπῄει ἐν ἀριστερᾷ ἔχων τὸ τεῖχος. οἱ δὲ Θηβαῖοι ὑπελθόντες ἀντετάξαντο 50
ἐπὶ Γραὸς στήθει, ὄπισθεν ἔχοντες τήν τε τάφρον καὶ τὸ σταύρωμα, νομίζοντες καλὸν εἶναι ἐνταῦθα διακινδυνεύειν· καὶ γὰρ στενὸν ἦν ταύτῃ ἐπιεικῶς καὶ δύσβατον τὸ χωρίον. ὁ δ᾽ Ἀγησίλαος ἰδὼν ταῦτα πρὸς ἐκείνους μὲν οὐκ ἦγεν, ἐπισιμώσας δὲ πρὸς τὴν πόλιν ᾔει. οἱ δ᾽ αὖ Θηβαῖοι δείσαντες περὶ τῆς πόλεως, ὅτι 51
ἐρήμη ἦν, ἀπολιπόντες ἔνθα παρατεταγμένοι ἦσαν δρόμῳ ἔθεον εἰς τὴν πόλιν τὴν ἐπὶ Ποτνιὰς ὁδόν· ἦν γὰρ αὕτη ἀσφαλεστέρα. καὶ μέντοι ἐδόκει καλὸν γενέσθαι τὸ ἐνθύμημα τοῦ Ἀγησιλάου, ὅτι πόρρω ἀπαγαγὼν ἀπὸ τῶν πολεμίων ἀποχωρεῖν δρόμῳ αὐτοὺς ἐποίησεν· ὅμως μέντοι ἐπὶ παραθέοντας αὐτοὺς τῶν πολεμάρχων τινὲς ἐπέδραμον σὺν ταῖς μόραις. οἱ μέντοι Θηβαῖοι ἀπὸ τῶν 52
λόφων τὰ δόρατα ἐξηκόντιζον, ὥστε καὶ ἀπέθανεν Ἀλύπητος, εἷς τῶν πολεμάρχων, ἀκοντισθεὶς δόρατι· ὅμως δὲ καὶ ἀπὸ τούτου

Thespiä. — ὡς στρατεύματι] „für einen Heerzug berechnet“, relative Beschränkung des zweitägigen Marsches; die Entfernung an sich ist für einen Wanderer nicht grofs, erfordert aber für ein schwerfälliges Heer mehr Zeit. — Σκῶλος] St. in Böotien zwischen Erythrä und Tanagra am Asoposflusse. — πρίν] hypothet. „bevor er ... konnte“. — φυλακῆς] am Pafs bei Thespiä. — πρὸς ἕω] substantiv. Adverb loci mit Genet.; vgl. § 38; die im O. der Stadt gelegenen Fluren. — μέχρι] prägn. im Sinne von πλήν, durch γάρ erklärt. — Τάναγρα] im SO. von Böotien am Asoposfl. — ἔτι τότε] im Gegensatz zu der späteren Oberherrschaft Thebens. — τὸ τεῖχος] Τανάγρας; Ages. zieht also wieder südwärts.

50. ὑπελθόντες] das Kompos. mit dem Begriff „allmählich“. — Γραὸς στῆθος] ein Hügel im W. von Tanagra mit dem Denkmal der Königin Graia, der hochbetagten Gattin des Gründers Poimandros. — καλόν] *utile;* auch dieses ist in gewissem Sinne ehrenvoll. — διακινδυνεύειν] „den Entscheidungskampf wagen“. — ἐπισιμώσας] „seitwärts schwenken“.

51. ἐρήμη] ἐξεστρατευκότων ἁπάντων. — ἀπολιπόντες] τὸν τόπον. — Ποτνιαί] St. im SO. von Theben. — ἀσφαλεστέρα] über die Höhen (λόφων) mit einem Umwege. — καὶ μέντοι] *et vero,* den Begriff ἀσφαλεστέρα beschränkend. — ὅμως μέντοι] Gegens. des ἐπέδραμον zu ἀποχωρεῖν δρόμῳ ἐποιήσεν.

52. καὶ ἀπὸ τούτου τοῦ λόφου]

τοῦ λόφου ἐτράπησαν οἱ Θηβαῖοι· ὥστε ἀναβάντες οἱ Σκιρῖται καὶ
τῶν ἱππέων τινὲς ἔπαιον τοὺς τελευταίους τῶν Θηβαίων παρε-
53 λαύνοντας εἰς τὴν πόλιν. ὡς μέντοι ἐγγὺς τοῦ τείχους ἐγένοντο,
ὑποστρέφουσιν οἱ Θηβαῖοι· οἱ δὲ Σκιρῖται ἰδόντες αὐτοὺς θᾶττον
ἢ βάδην ἀπῆλθον. καὶ ἀπέθανε μὲν οὐδεὶς αὐτῶν· ὅμως δὲ οἱ
54 Θηβαῖοι τρόπαιον ἐστήσαντο, ὅτι ἀπεχώρησαν οἱ ἀναβάντες. ὁ
μέντοι Ἀγησίλαος, ἐπεὶ ὥρα ἦν, ἀπελθὼν ἐστρατοπεδεύσατο ἔν-
θαπερ τοὺς πολεμίους εἶδε παρατεταγμένους· τῇ δ᾽ ὑστεραίᾳ
ἀπήγαγε τὴν ἐπὶ Θεσπιάς. θρασέως δὲ παρακολουθούντων τῶν
πελταστῶν, οἳ ἦσαν μισθοφόροι τοῖς Θηβαίοις, καὶ τὸν Χαβρίαν
ἀνακαλούντων, ὅτι οὐκ ἠκολούθει, ὑποστραφέντες οἱ τῶν Ὀλυνθίων
ἱππεῖς, ἤδη γὰρ κατὰ τοὺς ὅρκους συνεστρατεύοντο, ἐδίωξάν τε
αὐτοὺς πρὸς ὄρθιον, καθάπερ ἠκολούθουν, καὶ ἀπέκτειναν αὐτῶν
μάλα πολλούς· ταχὺ γὰρ πρὸς ἄναντες εὐήλατον ἁλίσκονται πεζοὶ
55 ὑφ᾽ ἱππέων. ἐπεὶ δ᾽ ἐγένετο ὁ Ἀγησίλαος ἐν ταῖς Θεσπιαῖς,
εὑρὼν στασιάζοντας τοὺς πολίτας καὶ βουλομένων τῶν φασκόντων
λακωνίζειν ἀποκτεῖναι τοὺς ἐναντίους, ὧν καὶ Μέλων ἦν, τοῦτο
μὲν οὐκ ἐπέτρεψε· διαλλάξας δὲ αὐτοὺς καὶ ὅρκους ὀμόσαι ἀλλή-
λοις ἀναγκάσας οὕτως ἀπῆλθε πάλιν διὰ τοῦ Κιθαιρῶνος τὴν ἐπὶ
Μέγαρα. καὶ ἐκεῖθεν τοὺς μὲν συμμάχους ἀφῆκε, τὸ δὲ πολιτικὸν
στράτευμα οἴκαδε ἀπήγαγεν.
56 Μάλα δὲ πιεζόμενοι οἱ Θηβαῖοι σπάνει σίτου διὰ τὸ δυοῖν

Dieser spezielle Zusatz nach dem allgemeineren *ἀπὸ τῶν λόφων* sowie die auf kurzem Raum mehrfach wiederholte Anführung *οἱ Θηβαῖοι* zwingen dazu, einen ausgefallenen Einzelkampf zu ergänzen, wenigstens einen Satz im Sinne von *οὗ Ἀλύπητος ἀπέθανεν*. — *ἀναβάντες*] *εἰς τὸν λόφον*; das Motiv dazu fehlt; das Part. ist durch einen Relativsatz zu geben. — *οἱ Σκιρῖται*] vgl. 2, 24.

53. *ἐγγύς*] also unter dem Schutze d. M. — *θᾶττον ἢ βάδην*] = *δρόμῳ*, vgl. 42. — *οἱ ἀναβάντες*] mit konzessivem Nebensinn, trotz ihrer vorherigen Offensive.

54. *ὥρα ἦν*] sc. *ἀπελθεῖν*. — *ἔνθαπερ ... εἶδεν*] *πρότερον* in der gedeckten Stellung *ἐπὶ Γραὸς στήθει*, vgl. § 50. 51, wie aus *ἀπελθών* hervorgeht. — *θρασέως*] „siegesgewifs". — *ἀνακαλούντων*] *βοηθεῖν*. — *κατὰ τοὺς ὅρκους*] vgl. 3, 26 — *πρὸς ὄρθιον*] = *πρὸς ἄναντες*, „die Berghöhe hinan". — *καθάπερ* . . .] „demgemäfs, wie sie ... begriffen waren". — *εὐήλατος*] „gebahnt".

55. *βουλομένων ... φασκόντων*] zu jedem der beiden Partic. gehört ein Infinitiv. — *διαλλάξας ... ὅρκους ὀμόσαι*] die beiden zur Amnestie gehörigen Akte; vgl. II, 4, 38—43. — *οὕτως*] epanaleptisch wozu? — *ἀφῆκε ... ἀπήγαγε*] vgl. § 41.

ἐτοῖν μὴ εἰληφέναι καρπὸν ἐκ τῆς γῆς πέμπουσιν ἐπὶ δυοῖν τριήροιν ἄνδρας εἰς Παγασὰς ἐπὶ σῖτον δέκα τάλαντα δόντες. Ἀλκέτας δὲ ὁ Λακεδαιμόνιος φυλάττων Ὠρεόν, ἐν ᾧ ἐκεῖνοι τὸν σῖτον συνεωνοῦντο, ἐπληρώσατο τρεῖς τριήρεις, ἐπιμεληθεὶς ὅπως μὴ ἐξαγγελθείη. ἐπεὶ δὲ ἀπήγετο ὁ σῖτος, λαμβάνει ὁ Ἀλκέτας τόν τε σῖτον καὶ τὰς τριήρεις καὶ τοὺς ἄνδρας ἐζώγρησεν οὐκ ἐλάττους ὄντας ἢ τριακοσίους. τούτους δὲ εἶρξεν ἐν τῇ ἀκροπόλει, οὗπερ αὐτὸς ἐσκήνου. ἀκολουθοῦντος δέ τινος τῶν Ὠρειτῶν παιδός, 57
ὡς ἔφασαν, μάλα καλοῦ τε κἀγαθοῦ, καταβαίνων ἐκ τῆς ἀκροπόλεως περὶ τοῦτον ἦν. καταγνόντες δὲ οἱ αἰχμάλωτοι τὴν ἀμέλειαν καταλαμβάνουσι τὴν ἀκρόπολιν, καὶ ἡ πόλις ἀφίσταται· ὥστ᾽ εὐπόρως ἤδη οἱ Θηβαῖοι σῖτον παρεκομίζοντο.

Ὑποφαίνοντος δὲ πάλιν τοῦ ἦρος ὁ μὲν Ἀγησίλαος κλινο-* 58
πετὴς ἦν. ὅτε γὰρ ἀπῆγε τὸ στράτευμα ἐκ τῶν Θηβῶν, ἐν τοῖς Μεγάροις ἀναβαίνοντος αὐτοῦ ἐκ τοῦ Ἀφροδισίου εἰς τὸ ἀρχεῖον ῥήγνυται ὁποία δὴ φλέψ, καὶ ἐρρύη τὸ ἐκ τοῦ σώματος αἷμα εἰς τὸ ὑγιὲς σκέλος. γενομένης δὲ τῆς κνήμης ὑπερόγκου καὶ ὀδυνῶν ἀφορήτων, Συρακόσιός τις ἰατρὸς σχάζει τὴν παρὰ τῷ σφυρῷ φλέβα αὐτοῦ. ὡς δὲ ἅπαξ ἤρξατο, ἔρρει αὐτῷ νύκτα τε καὶ ἡμέραν τὸ αἷμα καὶ πάντα ποιοῦντες οὐκ ἐδύναντο σχεῖν τὸ ῥεῦμα, πρὶν ἐλιποψύχησε· τότε μέντοι ἐπαύσατο. καὶ οὕτως ἐκεῖνος μὲν ἀποκομισθεὶς εἰς Λακεδαίμονα ἠρρώστει τό τε λοιπὸν θέρος καὶ διὰ χειμῶνος.

Οἱ δὲ Λακεδαιμόνιοι, ἐπεὶ ἔαρ ὑπέφαινε, πάλιν φρουράν τε ἔφαινον καὶ Κλεόμβροτον ἡγεῖσθαι ἐκέλευον. ἐπεὶ δ᾽ ἔχων τὸ 59
στράτευμα πρὸς τῷ Κιθαιρῶνι ἐγένετο, προῄεσαν αὐτῷ οἱ πελτασταὶ ὡς προκαταληψόμενοι τὰ ὑπὲρ τῆς ὁδοῦ. Θηβαίων δὲ καὶ

---

56. *Παγασαί*] St. am Meerb. gl. N. im SO. von Thessalien. — *Ὠρεός*] St. im N. von Euböa, gegenüber Pagasae. — *ἐν ᾧ*] *χρόνῳ*. — *ἀγγελθείη*] *πληρωσάμενος*. — *ἀπήγετο*] v. Pagasä.

57. *ἀκολουθοῦντος*] Part. des iterat. Imperf. — *περὶ τοῦτον ἦν*] „widmete sich ... ganz“, vgl. 1, 20. — *καταγνόντες*] *perspicere*, vgl. § 41.

58. *ὅτε γὰρ ἀπῆγε*] 377 v. Chr., § 55. — *Ἀφροδίσιον*] Tempel der Aphrodite. — *ἀρχεῖον*] Regierungsgebäude auf der Burg. — *ὁποία δή*] *nescio quae*. — *τὸ ἐκ τοῦ*] vgl. 1, 5. — *ὑγιές*] das andere Bein war lahm; vgl. III, 3, 3. — *ὑπέρογκος*] „übermäfsig geschwollen“. — *ἀφορήτων*] *γενομένων*. — *σχάζει*] ritzen, d. i. „z. A. lassen“. — *ἤρξατο*] *ῥυῆναι*. — *ποιοῦντες*] konzessiv. — *πρίν*] vgl. zu § 45. — *ἐπαύσατο*] *ῥυέν*.

59. *ἔαρ*] epanaleptisch zu § 58. — *Κλεόμβροτον*] begründet durch § 58. — *αὐτῷ*] Dat. relationis. — *τὰ ὑπὲρ τῆς*

Ἀθηναίων προκατέχοντές τινες τὸ ἄκρον τέως μὲν εἴων αὐτοὺς
ἀναβαίνειν· ἐπεὶ δ᾽ ἐπ᾽ αὐτοῖς ἦσαν, ἐξαναστάντες ἐδίωκον καὶ
ἀπέκτειναν περὶ τετταράκοντα. τούτου δὲ γενομένου ὁ Κλεόμ-
βροτος ἀδύνατον νομίσας τὸ ὑπερβῆναι εἰς τὴν τῶν Θηβαίων ἀπήγέ
τε καὶ διῆκε τὸ στράτευμα.

60 *Συλλεγέντων δὲ τῶν συμμάχων εἰς Λακεδαίμονα λόγοι ἐγίγνοντο*
ἀπὸ τῶν συμμάχων, ὅτι διὰ μαλακίαν κατατριβήσοιντο ὑπὸ τοῦ
πολέμου. ἐξεῖναι γὰρ σφίσι ναῦς πληρώσαντας πολὺ πλείονας
τῶν Ἀθηναίων ἑλεῖν λιμῷ τὴν πόλιν αὐτῶν· ἐξεῖναι δὲ ἐν ταῖς
αὐταῖς ταύταις ναυσὶ καὶ εἰς Θήβας στράτευμα διαβιβάζειν, εἰ
61 *μὲν βούλοιντο, ἐπὶ Φωκέων, εἰ δὲ βούλοιντο, ἐπὶ Κρεύσιος. ταῦτα*
δὲ λογισάμενοι ἑξήκοντα μὲν τριήρεις ἐπλήρωσαν, Πόλλις δ᾽ αὐτῶν
ναύαρχος ἐγένετο. καὶ μέντοι οὐκ ἐψεύσθησαν οἱ ταῦτα γνόντες,
ἀλλ᾽ οἱ Ἀθηναῖοι ἐπολιορκοῦντο· τὰ γὰρ σιταγωγὰ αὐτοῖς πλοῖα
ἐπὶ μὲν τὸν Γεραιστὸν ἀφίκετο, ἐκεῖθεν δ᾽ οὐκέτι ἤθελε παρα-
πλεῖν, τοῦ ναυτικοῦ ὄντος τοῦ Λακεδαιμονίων περί τε Αἴγιναν
καὶ Κέω καὶ Ἄνδρον. γνόντες δ᾽ οἱ Ἀθηναῖοι τὴν ἀνάγκην ἐνέ-
βησαν αὐτοὶ εἰς τὰς ναῦς καὶ ναυμαχήσαντες πρὸς τὸν Πόλλιν
Χαβρίου ἡγουμένου νικῶσι τῇ ναυμαχίᾳ. καὶ ὁ μὲν σῖτος τοῖς
62 *Ἀθηναίοις οὕτω παρεκομίσθη. παρασκευαζομένων* δὲ τῶν Λακε-*
δαιμονίων στράτευμα διαβιβάζειν ἐπὶ τοὺς Βοιωτούς, ἐδεήθησαν
οἱ Θηβαῖοι τῶν Ἀθηναίων περὶ Πελοπόννησον στράτευμα πέμψαι,
λογισάμενοι, ὅτι, εἰ τοῦτο γένοιτο, οὐ δυνατὸν ἔσοιτο τοῖς Λακεδαι-

---

ὁδοῦ] *χωρία* = *τὸ ... ἄκρον*. — *ἐξαναστάντες*] *ἐκ λόγου*. — *ὑπερβῆναι*] vgl. § 41 *ὑπερβαλών*. — *διῆκε τὸ στρατεῦμα*] sc. *τῶν συμμάχων καὶ τὸ πολιτικὸν οἴκαδε ἀπήγαγεν*, vgl. § 41.

60. *ἀπὸ τῶν συμμάχων*] „gerade aus dem Kreise der B.“. Gegens. zu Sparta; daher Wiederholung des Wortes. — *μαλακίαν*] Tadel gegen Kleombrotos. — *ἑλεῖν ... διαβιβάζειν*] ersteres weist auf den saronischen, letzteres auf den korinth. Meerbusen; vgl. § 62; das letztere ein Jahr später. — *εἰς Θήβας ... ἐπὶ Φωκέων*] *εἰς* bezeichnet das Endziel, *ἐπί* die Landungsstelle; der Genetiv dabei wie 3, 6. — *Κρεῦσις*] Küstenstadt im SO. von Böotien.

61. *καὶ μέντοι*] *et profecto*, § 51. — *αὐτοῖς*] abhängig von *σιταγωγά*, im Sinne von *σ. ἄγοντα*. — *Γεραιστός*] St. am Vorgebirge gl. N. im S. von Euböa. — *ἤθελε*] Personifikation „wagten“. — *ὄντος*] verbinde mit *περί* „stehen“. — *Κέως ... Ἄνδρος*] Cykladeninseln bei Attika resp. Euböa. — *ἀνάγκην*] *τοῦ ἐμβαίνειν*. — *αὐτοί*] *οἱ ὁπλῖται*, Gegens. *ξένοι*. — *ναυμαχία*] bei Naxos.

62. *διαβιβάζειν*] vgl. § 60. — *ἑαυ-*

μονίοις ἅμα μὲν τὴν ἑαυτῶν χώραν φυλάττειν, ἅμα δὲ τὰς περὶ
ἐκεῖνα τὰ χωρία συμμαχίδας πόλεις, ἅμα δὲ στράτευμα διαβιβάζειν
ἱκανὸν πρὸς ἑαυτούς. καὶ οἱ Ἀθηναῖοι μέντοι ὀργιζόμενοι τοῖς 63
Λακεδαιμονίοις διὰ τὸ Σφοδρία ἔργον προθύμως ἐξέπεμψαν περὶ
τὴν Πελοπόννησον ναῦς τε ἑξήκοντα πληρώσαντες καὶ στρατηγὸν
αὐτῶν Τιμόθεον ἑλόμενοι. ἅτε δὲ εἰς τὰς Θήβας οὐκ ἐμβεβλη-
κότων τῶν πολεμίων οὔτ' ἐν ᾧ Κλεόμβροτος ἦγε τὴν στρατιὰν ἔτι
οὔτ' ἐν ᾧ Τιμόθεος περιέπλευσε, θρασέως δὴ ἐστρατεύοντο οἱ
Θηβαῖοι ἐπὶ τὰς περιοικίδας πόλεις καὶ πάλιν αὐτὰς ἀνελάμβανον.
ὁ μέντοι Τιμόθεος περιπλεύσας Κέρκυραν μὲν εὐθὺς ὑφ' ἑαυτῷ 64
ἐποιήσατο· οὐ μέντοι ἠνδραποδίσατο οὐδὲ ἄνδρας ἐφυγάδευσεν οὐδὲ
νόμους μετέστησεν· ἐξ ὧν τὰς περὶ ἐκεῖνα πόλεις πάσας εὐμενε-
στέρας ἔσχεν. ἀντεπλήρωσαν δὲ καὶ οἱ Λακεδαιμόνιοι ναυτικὸν 65
καὶ Νικόλοχον ναύαρχον, μάλα θρασὺν ἄνδρα, ἐξέπεμψαν· ὃς
ἐπειδὴ εἶδε τὰς μετὰ Τιμοθέου ναῦς, οὐκ ἐμέλλησε, καίπερ ἓξ
νεῶν αὐτῷ ἀπουσῶν τῶν Ἀμβρακιωτίδων, ἀλλὰ πέντε καὶ πεντή-
κοντα ἔχων ναῦς ἑξήκοντα οὔσαις ταῖς μετὰ Τιμοθέου ἐναυμάχησεν.
καὶ τότε μὲν ἡττήθη, καὶ τρόπαιον ὁ Τιμόθεος ἔστησεν ἐν Ἀλυ-
ζίᾳ. ὁ δὲ ἀνειλκυσμένων τῶν Τιμοθέου νεῶν καὶ ἐπισκευαζομένων, 66
ἐπεὶ παρεγένοντο αὐτῷ αἱ Ἀμβρακιώτιδες ἓξ τριήρεις, ἐπὶ τὴν
Ἀλυζίαν ἔπλευσεν, ἔνθα ἦν ὁ Τιμόθεος. ὡς δὲ οὐκ ἀντανῆγε,
τρόπαιον αὖ κἀκεῖνος ἐστήσατο ἐν ταῖς ἐγγυτάτω νήσοις. ὁ δὲ
Τιμόθεος ἐπεὶ ἅς τε εἶχεν ἐπεσκεύασε καὶ ἐκ Κερκύρας ἄλλας
προσεπληρώσατο, γενομένων αὐτῷ τῶν πασῶν πλέον ἢ ἑβδομή-
κοντα, πολὺ δὴ ὑπερεῖχε ναυτικῷ· χρήματα μέντοι μετεπέμπετο
Ἀθήνηθεν· πολλῶν γὰρ ἐδεῖτο, ἅτε πολλὰς ναῦς ἔχων.

τῶν] *τῶν Λακεδ.* — *πόλεις*] *φυλάττειν.* — *ἑαυτούς*] *τοὺς Θηβαίους.*

63. *καὶ ... μέντοι*] = *καὶ ... δέ*, vgl. 1, 11. — *Σφοδρία*] dor. Genetiv, zur Sache vgl. § 20. — *Τιμόθεος*] Sohn des Konon. — *ἐν ᾧ ... ἐν ᾧ*] 376 und 375 v. Chr. — *ἀνελάμβανον*] in den böot. Bund.

64. *Κέρκυρα*] Insel im W. von Epirus. — *περὶ ἐκεῖνα*] *τὰ χωρία.* — *ὑφ' ἑαυτῷ ἐποιήσατο*] konstr. wie *γίγνεσθαι.* — *μετέστησαν*] anders verfuhr Athen früher, vgl. II, 2, 3.

65. *Νικόλοχος*] *ἐπιστολεὺς Ἀνταλκίδου*, vgl. 1, 6. — *αὐτῷ*] Dat. incommodi. — *Ἀμβρακία*] St. im S. von Epirus. — *Ἀλυζία*] St. in Akarnanien, gegenüber Leukas.

66. *ἀνειλκυσμένον*] *subducere.* — *ἐπισκευαζόμενον*] *reficere.* — *ἀντανῆγε*] *Τιμόθεος.* — *τῶν πασῶν*] mit attribut. Artikel „die Gesamtzahl“.

SECHSTES BUCH.

1 Οἱ μὲν οὖν Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι περὶ ταῦτα ἦσαν. οἱ δὲ Θηβαῖοι ἐπεὶ κατεστρέψαντο τὰς ἐν τῇ Βοιωτίᾳ πόλεις, ἐστράτευον* καὶ εἰς τὴν Φωκίδα. ὡς δ' αὖ καὶ οἱ Φωκεῖς ἐπρέσβευον εἰς τὴν Λακεδαίμονα καὶ ἔλεγον, ὅτι, εἰ μὴ βοηθήσοιεν, οὐ δυνήσονται μὴ πείθεσθαι τοῖς Θηβαίοις, ἐκ τούτου οἱ Λακεδαιμόνιοι διαβιβάζουσι κατὰ θάλατταν εἰς Φωκέας Κλεόμβροτόν τε τὸν βασιλέα καὶ μετ' αὐτοῦ τέτταρας μόρας καὶ τῶν συμμάχων τὸ μέρος.

2 Σχεδὸν δὲ περὶ τοῦτον τὸν χρόνον καὶ ἐκ Θετταλίας ἀφικνεῖται πρὸς τὸ κοινὸν τῶν Λακεδαιμονίων Πολυδάμας Φαρσάλιος. οὗτος δὲ καὶ ἐν τῇ ἄλλῃ Θετταλίᾳ μάλα εὐδοκίμει καὶ ἐν αὐτῇ δὲ τῇ πόλει οὕτως ἐδόκει καλός τε κἀγαθὸς εἶναι, ὥστε καὶ στασιάσαντες οἱ Φαρσάλιοι παρακατέθεντο αὐτῷ τὴν ἀκρόπολιν καὶ τὰς προσόδους ἐπέτρεψαν λαμβάνοντι, ὅσα ἐγέγραπτο ἐν τοῖς νόμοις, εἴς τε τὰ ἱερὰ ἀναλίσκειν καὶ εἰς τὴν ἄλλην διοίκησιν.

Kap. 1. § 1: **Kleombrotos in Phocis (374 v. Chr.).** — § 2/19: **Ankunft und Rede des Pharsaliers Polydamas in Sparta. Antwort der Lacedämonier. Einigung der Pharsalier mit Jason (374).**

1. κατεστρέψαντο] zur Sache vgl. V, 4, 63 τὰς περιοικίδας πόλεις. — Φωκίδα] Erbfeindin von Theben. — αὖ καί] „auch ihrerseits" ihre Maſsnahmen treffend. — βοηθήσοιεν] Opt. Or. obl. statt des hypoth. Ind. realis; der Plural Constr. ad sensum zu Λακεδαίμονα. — μὴ πείθεσθαι] = μὴ οὐ π. nach einfach negiertem Ausdruck; *facere non poterant quin* …, vgl. V, 4, 32. — τὸ μέρος] das erforderliche Kriegskontingent, vgl. IV, 6, 3.

2. καὶ … δέ] hier pleonastisch statt des einfachen korrespond. καί. — τῇ πόλει] Φαρσάλῳ im S. von Thessalien. — ἐδόκει] „galt". — καί] verb. nicht konzessiv mit στασιάσαντες sondern steigernd „sogar" mit dem Verb. finitum. — ἐπέτρεψαν] *permittere*. — λαμβάνοντι] Attrakt. bei d. Infin. — ὅσα] τῶν προσόδων λαμβάνειν ἐγέγ. — ἀναλίσκειν] wovon abhängig?

κἀκεῖνος μέντοι ἀπὸ τούτων τῶν χρημάτων τήν τε ἄκραν φυλάττων 3
διέσωζεν αὐτοῖς καὶ τἄλλα διοικῶν ἀπελογίζετο κατ᾽ ἐνιαυτόν. καὶ ὁπότε μὲν ἐνδεήσειε, παρ᾽ ἑαυτοῦ προσετίθει, ὁπότε δέ τι περιγένοιτο τῆς προσόδου, ἀπελάμβανεν. ἦν δὲ καὶ ἄλλως φιλόξενός τε καὶ μεγαλοπρεπὴς τὸν Θετταλικὸν τρόπον. οὗτος οὖν, ἐπεὶ ἀφίκετο εἰς τὴν Λακεδαίμονα, εἶπε τοιάδε·

Ἐγώ, ὦ ἄνδρες Λακεδαιμόνιοι, πρόξενος ὑμῶν ὢν καὶ εὐεργέτης 4
ἐκ πάντων ὧν μεμνήμεθα προγόνων ἀξιῶ, ἐάν τέ τι ἀπορῶ, πρὸς ὑμᾶς ἰέναι, ἐάν τέ τι χαλεπὸν ὑμῖν ἐν τῇ Θετταλίᾳ συνιστῆται, σημαίνειν. ἀκούετε μὲν οὖν εὖ οἶδ᾽ ὅτι καὶ ὑμεῖς Ἰάσονος ὄνομα· ὁ γὰρ ἀνὴρ καὶ δύναμιν ἔχει μεγάλην καὶ ὀνομαστός ἐστιν. οὗτος δὲ σπονδὰς ποιησάμενος συνεγένετό μοι καὶ εἶπε τάδε· „Ὅτι μέν, 5
ὦ Πολυδάμα, καὶ ἄκουσαν τὴν ὑμετέραν πόλιν δυναίμην ἂν παραστήσασθαι, ἔξεστί σοι ἐκ τῶνδε λογίζεσθαι. ἐγὼ γάρ, ἔφη, ἔχω μὲν Θετταλίας τὰς πλείστας καὶ μεγίστας πόλεις συμμάχους· κατεστρεψάμην δ᾽ αὐτὰς ὑμῶν σὺν αὐταῖς τὰ ἐναντία ἐμοὶ στρατευομένων. καὶ μὴν οἶσθά γε, ὅτι ξένους ἔχω μισθοφόρους εἰς ἑξακισχιλίους, οἷς, ὡς ἐγὼ οἶμαι, οὐδεμία πόλις δύναιτ᾽ ἂν ῥᾳδίως μάχεσθαι. ἀριθμὸς μὲν γάρ, ἔφη, καὶ ἄλλοθεν οὐκ ἂν ἐλάττων ἐξέλθοι· ἀλλὰ τὰ μὲν ἐκ τῶν πόλεων στρατεύματα τοὺς μὲν προε-

---

3. *Καὶ ... μέντοι*] *et profecto.* — *ἀπὸ τούτων*] eigentlich separativ sc. *λαμβάνων*, steht oft instrumental. — *ἄκραν*] *ἀκρόπολιν.* — *ἀπελογίζετο*] *rationem reddere.* — *ἐνδεήσειε*] Verb. imperson. zur Bezeichnung eines Defizits. — *ἑαυτοῦ*] *τῶν ἑ. χρημάτων.* — *περιγένοιτο*] „Überschufs".

4. *πρόξενος*] vgl. V, 4, 22. — *εὐεργέτης*] Ehrentitel, von einem fremden Staate verliehen und mit äufseren Vorzügen, z. B. Speisung im Prytaneum verbunden. — *ἐκ*] „zeitlich". — *ἀξιῶ*] „für angemessen halten", vgl. V, 1, 32. — *ἐάν τε ... ἐάν τε*] = *εἴτε ... εἴτε*; distributiv. — *συνιστῆται*] Bild vom Gewitter entlehnt, vgl. II, 3, 30. — *εὖ οἶδ᾽ ὅτι*] *ἀκούετε*; adverbiell wie *δηλονότι, mirum quantum, nescio an* u. dgl. — *Ἰάσων*] Tyrann von Pherä im O. von Thessalien. — *σπονδάς*] behufs sicheren Geleites, vgl. § 5 *τὰ ἐναντία ἐμοί.*

5. *ὅτι μέν*] der Gegensatz folgt § 7 in anderer Form. — *Πολυδάμα*] Heterokliton. — *καὶ ἄκουσαν*] *vel invitam.* — *πόλιν*] *Φάρσαλον.* — *παραστήσασθαι*] oft in feindlichem Sinne. — *τὰ ἐναντία*] adverbieller Accus. der Bez. — *στρατευομένων*] konzessiv. — *καὶ μήν*] „und ferner". — *ξένους ... μισθοφόρους*] ersteres bezeichnet die nationale Stellung (Gegens. *Θετταλοί*) letzteres die soziale. — *ἀριθμὸς μέν*] betonte Stellung „zwar was ... betrifft". — *ἐκ τῶν πόλεων*] *πολιτικά.* — *τὰ μὲν ... τοὺς μέν*] mit ersterem korrespond. ein adversatives, mit letzterem ein ko-

ληλυθότας ἤδη ταῖς ἡλικίαις ἔχει, τοὺς δ᾽ οὔπω ἀκμάζοντας· σωμασκοῦσί γε μὴν μάλα ὀλίγοι τινὲς ἐν ἑκάστῃ πόλει· παρ᾽ ἐμοὶ δὲ
6 οὐδεὶς μισθοφορεῖ, ὅστις μὴ ἱκανός ἐστιν ἐμοὶ ἴσα πονεῖν." αὐτὸς δ᾽ ἐστί, — λέγειν γὰρ χρὴ πρὸς ὑμᾶς τἀληθῆ, — καὶ τὸ σῶμα μάλα εὔρωστος καὶ ἄλλως φιλόπονος. καὶ τοίνυν τῶν παρ᾽ αὐτῷ πεῖραν λαμβάνει καθ᾽ ἑκάστην ἡμέραν· ἡγεῖται γὰρ σὺν τοῖς ὅπλοις καὶ ἐν τοῖς γυμνασίοις καὶ ὅταν ποι στρατεύηται. καὶ οὓς μὲν ἂν μαλακοὺς τῶν ξένων αἰσθάνηται, ἐκβάλλει, οὓς δ᾽ ἂν ὁρᾷ φιλοπόνως καὶ φιλοκινδύνως ἔχοντας πρὸς τοὺς πολέμους, τιμᾷ τοὺς μὲν διμοιρίαις, τοὺς δὲ τριμοιρίαις, τοὺς δὲ καὶ τετραμοιρίαις καὶ ἄλλοις δώροις καὶ νόσων γε θεραπείαις καὶ περὶ ταφὰς κόσμῳ· ὥστε πάντες ἴσασιν οἱ παρ᾽ ἐκείνῳ ξένοι, ὅτι ἡ πολεμικὴ αὐτοῖς
7 ἀρετὴ ἐντιμότατόν τε βίον καὶ ἀφθονώτατον παρέχεται. ἐπεδείκνυε δέ μοι εἰδότι, ὅτι καὶ ὑπήκοοι ἤδη αὐτῷ εἶεν Μαρακοὶ καὶ Δόλοπες καὶ Ἀλκέτας ὁ ἐν τῇ Ἠπείρῳ ὕπαρχος· „ὥστε, ἔφη, τί ἂν ἐγὼ φοβούμενος οὐ ῥᾳδίως ἂν ὑμᾶς οἰοίμην καταστρέψεσθαι; τάχα οὖν ὑπολάβοι ἄν τις ἐμοῦ ἄπειρος, Τί οὖν μέλλεις καὶ οὐκ ἤδη στρατεύεις ἐπὶ τοὺς Φαρσαλίους; ὅτι νὴ Δία τῷ παντὶ κρεῖττόν μοι δοκεῖ εἶναι ἑκόντας ὑμᾶς μᾶλλον ἢ ἄκοντας προσαγαγέσθαι. βιασθέντες μὲν γὰρ ὑμεῖς τ᾽ ἂν βουλεύοισθε ὅ,τι δύναισθε κακὸν ἐμοὶ ἐγώ τ᾽ ἂν ὑμᾶς ὡς ἀσθενεστάτους βουλοίμην εἶναι· εἰ δὲ πεισθέντες μετ᾽ ἐμοῦ γένοισθε, δῆλον ὅτι αὔξοιμεν ἂν ὅ,τι δυναί-

---

pulatives δέ. — ἡλικίαις] „Altersklassen". — ὅστις μή] vgl. V, 1, 31. — ἐμοὶ ἴσα] Compar. compendiaria, d. i. der verkürzte Vergleich eines übergeordneten Begriffs mit einem untergeordneten, vgl. V, 2, 21.

6. αὐτὸς δ᾽ ἐστί κτλ.] parenthetische Erläuterung seitens des Polydamas, womit er die dem Jason in den Mund gelegte Rede einstweilen abbricht bis § 7 ὥστε, ἔφη ... — τοίνυν] folgernd. — τῶν παρ᾽ αὐτῷ] μισθοφόρων. — γυμνασίοις] Exerzierplätze. — διμοιρία] zweifache Soldrate. — περὶ ταφάς] attribut. zu κόσμῳ. — αὐτοῖς] Die Stellung zeigt, dafs der Dativ nicht blofs zu παρέχεται, sondern auch zu πολεμική sc. οὖσα bezüglich steht. — παρέχεται] Med. intensivum.

7. εἰδότι] καὶ αὐτῷ. — Μαρακοὶ καὶ Δόλοπες] ätol. Völker. — Ἀλκέτας] Fürst der Molosser. — ὕπαρχος] Unterkönig. — ὥστε, ἔφη] hier nimmt Polydamas die Rede des Jason wieder auf; vgl. § 6. — τί ἂν ... ἂν] das zweite ἂν steht epanaleptisch; τί ἂν φοβοίμην καὶ οὐ ῥᾳδίως ἂν οἰοίμην; — τί φοβούμενος] adverbiell wie τί παθών, τί μαθών. — ὑπολάβοι] λέγων, verbis excipere. — τῷ παντί] stärkster Grad beim Komparativ „im vollen Sinne des Wortes". — μᾶλλον] pleonast. nach κρεῖττον. — προσαγαγέσθαι] παραστήσασθαι. — ὅ,τι δύναισθε] Assimi-

μεθα ἀλλήλους. γιγνώσκω μὲν οὖν, ὦ Πολυδάμα, ὅτι ἡ σὴ πατρὶς 8
εἰς σὲ ἀποβλέπει· ἐὰν δέ μοι φιλικῶς αὐτὴν ἔχειν παρασκευάσῃς, ὑπισχνοῦμαί σοι, ἔφη, ἐγὼ μέγιστόν σε τῶν ἐν τῇ Ἑλλάδι μετ᾽ ἐμὲ καταστήσειν. οἵων δὲ πραγμάτων τὰ δεύτερά σοι δίδωμι, ἄκουε καὶ μηδὲν πίστευέ μοι ὅ,τι ἂν μὴ λογιζομένῳ σοι ἀληθὲς φαίνηται. οὐκοῦν τοῦτο μὲν εὔδηλον ἡμῖν, ὅτι Φαρσάλου προσγενομένης καὶ τῶν ἐξ ὑμῶν ἠρτημένων πόλεων εὐπετῶς ἂν ἐγὼ ταγὸς Θετταλῶν ἁπάντων κατασταίην· ὥς γε μήν, ὅταν ταγεύηται Θετταλία, εἰς ἑξακισχιλίους μὲν οἱ ἱππεύοντες γίγνονται, ὁπλῖται δὲ πλείους ἢ μύριοι καθίστανται. ὧν ἐγὼ καὶ τὰ σώματα καὶ 9
τὴν μεγαλοψυχίαν ὁρῶν οἶμαι ἂν αὐτῶν εἰ καλῶς τις ἐπιμελοῖτο, οὐκ εἶναι ἔθνος, ὁποίῳ ἂν ἀξιώσαιεν ὑπήκοοι εἶναι Θετταλοί. πλατυτάτης γε μὴν γῆς οὔσης Θετταλίας, πάντα τὰ κύκλῳ ἔθνη ὑπήκοα μέν ἐστιν, ὅταν ταγὸς ἐνθάδε καταστῇ· σχεδὸν δὲ πάντες οἱ ταύτῃ ἀκοντισταί εἰσιν· ὥστε καὶ πελταστικῷ εἰκὸς ὑπερέχειν τὴν ἡμετέραν δύναμιν. καὶ μὴν Βοιωτοί γε καὶ οἱ ἄλλοι πάντες 10
ὅσοι Λακεδαιμονίοις πολεμοῦντες ὑπάρχουσί μοι σύμμαχοι· καὶ ἀκολουθεῖν τοίνυν ἀξιοῦσιν ἐμοί, ἂν μόνον ἀπὸ Λακεδαιμονίων ἐλευθερῶ αὐτούς. καὶ Ἀθηναῖοι δὲ εὖ οἶδ᾽ ὅτι πάντα ποιήσαιεν ἂν ὥστε σύμμαχοι ἡμῖν γενέσθαι· ἀλλ᾽ ἐγὼ οὐκ ἄν μοι δοκῶ πρὸς αὐτοὺς φιλίαν ποιήσασθαι. νομίζω γὰρ ἔτι ῥᾷον τὴν κατὰ θάλατταν ἢ τὴν κατὰ γῆν ἀρχὴν παραλαβεῖν ἄν. εἰ δὲ εἰκότα λογί- 11

---

lation zu dem regierenden Opt. potentialis, statt ὅ,τι ἂν δύνησθε.

8. ἔχειν] konsekutiv. — οἵων] das Relativ bestimmter als das Interrogativ, vgl. bei Cäsar: *cognovit, quae gerebantur* statt *quid gereretur*. — τὰ δεύτερα] „Rolle". — λογιζομένῳ] „bei eigener Prüfung". — οὐκοῦν] vgl. V, 4, 31. — πόλεων] das Prädikat erg. aus dem vorigen. — ταγός] thessal. Bundesfürst. — ὥς γε μήν] korrespondiert mit τοῦτο μὲν ὅτι. — ἑξακισχιλίους] die hohe Zahl erklärt sich aus dem Ruhm der thessalischen Reiterei.

9. ὧν] Relat. statt des Demonstrativs. — οἶμαι ἄν] vgl. V, 1, 15. — αὐτῶν] betont vor εἰ. — καλῶς ἐπιμελοῖτο] „richtig behandeln". — ὁποίῳ ἄν] mit Opt., vgl. V, 2, 23. — τὰ κύκλῳ ἔθνη] Gebirgsvölker im Umkreis im Gegens. zu πλατυτάτης κτλ. — οἱ ταύτῃ] οἰκοῦντες κύκλῳ. — ἀκοντισταί ... πελταστικόν] die leichte Bewaffnung der Gebirgsvölker. — εἰκός] „einleuchtend".

10. ὅσοι πολεμοῦντες] sc. εἰσίν; Sprachgebrauch wie im D. „soweit ...". — ἂν μόνον] *dummodo*. — καὶ Ἀθ. δέ] „aber auch d. A.". — εὖ οἶδ᾽ ὅτι] vgl. § 4. — μοι δοκῶ] *mihi videor*, „ich glaube von mir". — παραλαβεῖν ἄν] ungewöhnliche Trennung des ἄν vom Adverb.

11. εἰ ... λογίζομαι] indir. Frage,

ζομαι, σκόπει, ἔφη, καὶ ταῦτα. ἔχοντες μέν γε Μακεδονίαν, ἔνθεν
καὶ Ἀθηναῖοι τὰ ξύλα ἄγονται, πολὺ δήπου πλέονας ἐκείνων
ἱκανοὶ ἐσόμεθα ναῦς ποιήσασθαι. ἀνδρῶν γε μὴν ταύτας πληροῦν
πότερον Ἀθηναίους ἢ ἡμᾶς εἰκὸς μᾶλλον δύνασθαι, τοσούτους καὶ
τοιούτους ἔχοντας πενέστας; τούς γε μὴν ναύτας τρέφειν πότερον
ἡμᾶς ἱκανωτέρους εἰκὸς εἶναι τοὺς δι᾽ ἀφθονίαν καὶ ἄλλοσε σῖτον
ἐκπέμποντας ἢ Ἀθηναίους τοὺς μηδ᾽ αὐτοῖς ἱκανὸν ἔχοντας, ἂν
12 μὴ πρίωνται; καὶ χρήμασί γε εἰκὸς δήπου ἡμᾶς ἀφθονωτέροις
χρῆσθαι μὴ εἰς νησύδρια ἀποβλέποντας, ἀλλ᾽ ἠπειρωτικὰ ἔθνη
καρπουμένους. πάντα γὰρ δήπου τὰ κύκλῳ φόρον φέρει, ὅταν
ταγεύηται τὰ κατὰ Θετταλίαν. οἶσθα δὲ δήπου, ὅτι καὶ βασιλεὺς
ὁ Περσῶν οὐ νήσους, ἀλλ᾽ ἤπειρον καρπούμενος πλουσιώτατος ἀν-
θρώπων ἐστίν· ὃν ἐγὼ ὑπήκοον ποιήσασθαι ἔτι εὐκατεργαστότερον
ἡγοῦμαι εἶναι ἢ τὴν Ἑλλάδα. οἶδα γὰρ πάντας τοὺς ἐκεῖ ἀν-
θρώπους πλὴν ἑνὸς μᾶλλον δουλείαν ἢ ἀλκὴν μεμελετηκότας, οἶδα
δέ, ὑφ᾽ οἵας δυνάμεως καὶ τῆς μετὰ Κύρου ἀναβάσης καὶ τῆς
13 μετ᾽ Ἀγησιλάου εἰς πᾶν ἀφίκετο βασιλεύς.“ ἐπεὶ δὲ ταῦτ᾽ εἰπόντος
αὐτοῦ ἐγὼ ἀπεκρινάμην, ὅτι τὰ μὲν ἄλλα ἀξιόσκεπτα λέγει, τὸ δὲ
Λακεδαιμονίοις ὄντας φίλους ἀποστῆναι πρὸς τοὺς ἐναντίους, μηδὲν
ἔχοντας ἐγκαλεῖν, τοῦτ᾽, ἔφην, ἄπορόν μοι δοκεῖ εἶναι· ὁ δ᾽ ἐπαι-

---

abh. von einem aus *σκόπει* zu ergänzenden *ἵνα γιγνώσκῃς* oder *τεκμήριον*. Eine ähnliche Breviloquenz vgl. II, 3, 27: *ὡς δὲ ταῦτα ἀληθῆ …, εὑρήσετε οὔτε ψέγοντα … — τὰ ξύλα*] *ναυπηγήσιμα*. — *τοιούτους*] „so trefflich“. — *πενέστας*] Bezeichnung der thessal. Leibeigenen, analog den spart. Heloten; Etymolog. *πένομαι, πένης, πόνος*. — *εἰκός*] *ἐστι*, Verb. regens; welcher Infin. hängt davon ab?

12. *ἀφθονωτέροις*] Prädikat; vgl. *utor* mit doppeltem Ablativ. — *νησύδρια*] Anspielung auf die Athen tributpflichtigen Inselstaaten. — *ἀποβλέποντας*] phraseolog. seinen Blick richten müssen, d. i. „angewiesen sein“. — *καρποῦσθαι*] „ausbeuten“, vgl. im D. „pflücken“. — *τὰ κατὰ Θ.*] der Bereich v. Th. — *καρπούμενος*] kausal. — *ἑνός*] näml. *βασιλέως*. — *ἀλκήν*] „selbständige Wehrkraft“. — *οἵας*] „wie geringfügig“; zur Sache vgl. III, 1, 2; 4, 2. — *εἰς πᾶν*] *δεινόν*, vgl. V, 4, 29. — *ἀφίκετο*] passive Bedeutung, daher *ὑπό*.

13. *ἐπεὶ δέ*] hier wird die eingeschaltete Rede des Jason nochmals einstweilen abgebrochen. — *ὄντας … ἔχοντας*] konzessiv. — *τοῦτ᾽*] epanaleptisch zu *τὸ δὲ … ἀποστῆναι*. — *ἔφην*] epanalept. zu *ἀπεκρινάμην*. — *ὅτι τὰ μὲν … λέγει … τὸ δὲ δοκεῖ*] beide Sätze gehören zum Vordersatze, dem sie ohne Modusverschiebung der Orat. obl. untergeordnet sind; *λέγει* vertritt *λέγεις* der Orat. recta; *μοι* mufs wie nachher *μου* mit Bezug auf *ἀπεκρινάμην* auch in Orat. obl. 1. Person

νέσας με καὶ εἰπών, ὅτι μᾶλλον ἑκτέον μου εἴη, ὅτι τοιοῦτος εἴην, ἐφῆκέ μοι ἐλθόντι πρὸς ὑμᾶς λέγειν τἀληθῆ, ὅτι διανοοῖτο στρατεύειν ἐπὶ Φαρσαλίους, εἰ μὴ πεισοίμεθα. αἰτεῖν οὖν ἐκέλευε βοήθειαν παρ' ὑμῶν. „καὶ ἐὰν μέν σοι, ἔφη, διδῶσιν, ὥστε σε πείθειν ἱκανὴν πέμπειν συμμαχίαν ὡς ἐμοὶ πολεμεῖν, ἄγ', ἔφη, καὶ τούτῳ χρώμεθα ὅ,τι ἂν ἀποβαίνῃ ἐκ τοῦ πολέμου· ἂν δέ σοι μὴ δοκῶσιν ἱκανῶς βοηθεῖν, οὐκ ἤδη ἀνέγκλητος ἂν δικαίως εἴης ἐν τῇ πατρίδι, ἥ σε τιμᾷ, εἰ σὺ πράττοις τὰ κράτιστα;" περὶ 14
τούτων δὴ ἐγὼ ἥκω πρὸς ὑμᾶς καὶ λέγω πάντα, ὅσα ἐκεῖ αὐτός τε ὁρῶ καὶ ἐκείνου ἀκήκοα. καὶ νομίζω οὕτως ἔχειν, ὦ ἄνδρες Λακεδαιμόνιοι, ὡς, εἰ μὲν πέμψετε ἐκεῖσε δύναμιν μὴ ἐμοὶ μόνον ἀλλὰ καὶ τοῖς ἄλλοις Θετταλοῖς ἱκανὴν δοκοῦσαν εἶναι πρὸς Ἰάσονα πολεμεῖν, ἀποστήσονται αὐτοῦ αἱ πόλεις· πᾶσαι γὰρ φοβοῦνται, ὅποι ποτὲ προβήσεται ἡ τοῦ ἀνδρὸς δύναμις· εἰ δὲ νεοδαμώδεις καὶ ἄνδρα ἰδιώτην οἴεσθε ἀρκέσειν, συμβουλεύω ἡσυχίαν ἔχειν. εὖ 15
γὰρ ἴστε, πρός τε μεγάλην ἔσται ῥώμην ὁ πόλεμος καὶ πρὸς ἄνδρα, ὃς φρόνιμος μὲν οὕτω στρατηγός ἐστιν, ὡς ὅσα τε λανθάνειν

---

bleiben. — ὁ δ' ἐπαινέσας] hier beginnt der Nachsatz anakoluthisch mit *δέ*, welches indes epanaleptisch steht und überhaupt in Verbindung mit dem Artikel oder Demonstrativ zuweilen superordinierend gebraucht wird. — ἑκτέον] αὐτῷ, Verbaladj. v. ἔχομαι. — τοιοῦτος] „so edeldenkend". — ἐφῆκε] *permittere*. — πεισοίμεθα] Opt. Orat. obl., Subj. ἡμεῖς οἱ Φαρσάλιοι. — καὶ ἐάν] hier wird die Rede Jasons wieder eingeschaltet. — διδῶσι] οἱ Λακεδαιμόνιοι; „Gehör schenken". — σέ] Subj., das Objekt ist zu ergänzen. — ὡς ... πολεμεῖν] konsekut. zu ἱκανήν. — χρώμεθα] „auf sich nehmen". — οὐκ] ohne ἄρα, unwillig wie *non*. — ἤδη] „alsdann". — ἀνέγκλητος] „vorwurfsfrei". — ἥ ... τιμᾷ] kausal. Relativsatz. — εἰ] spezielle Hypothese zu ἂν εἴης, unbeschadet der allgemeineren ἂν ... δοκῶσιν; ähnl. VII, 1, 44 εἰ ... ὅταν und VII, 4, 8 εἰ ... εἰ. — σύ] αὐτός betont im Gegens. zu οἱ Λακεδαιμόνιοι. — πράττοις] „Maſsregeln treffen"; näml. „dich mit mir zu verbünden"; wofür auch der thatsächliche Ausgang § 17—18 spricht αὐτὸν συντίθεσθαι ἄριστα τὰ τῆς πόλεως.

14. περὶ τούτων δή] hier bricht die eingeschaltete Rede des Jason nunmehr gänzlich ab; Polydamas läſst nur noch sich vernehmen. — ὡς ... ἀποστήσονται] konsekutiv zu οὕτως wie IV, 1, 33; V, 4, 22; VI, 1, 15. Zur Sache vgl. § 13 ὅ,τι ἂν ἀποβαίνῃ. — φοβοῦνται ὅποι ποτέ] prägnant für φοβούμενοι σκοποῦσι, *quousque tandem*. — νεοδαμώδεις] Neubürger, freigelassene Heloten. — ἰδιώτην] Gegens. zum königlichen Heerführer. — ἡσυχίαν ἄγειν] Euphemismus „die Hände davon lassen".

15. οὕτως ... ὡς] konsekutiv wie § 13. — λανθάνειν] πράττων. — ὅσα]

καὶ ὅσα φθάνειν καὶ ὅσα βιάζεσθαι ἐπιχειρεῖ οὐ μάλα ἀφαμαρτάνει. ἱκανὸς γάρ ἐστι καὶ νυκτὶ ὅσαπερ ἡμέρᾳ χρῆσθαι καί, ὅταν σπεύδῃ, ἄριστον καὶ δεῖπνον ποιησάμενος ἅμα πονεῖσθαι. οἴεται δὲ καὶ ἀναπαύεσθαι χρῆναι, ὅταν ἀφίκηται ἔνθ᾿ ἂν ὡρμημένος ᾖ καὶ διαπράξηται ἃ δεῖ· καὶ τοὺς μεθ᾿ αὑτοῦ δὲ ταῦτα εἴθικεν. ἐπίσταται δὲ καὶ ὅταν ἐπιπονήσαντες ἀγαθόν τι πράξωσιν οἱ στρατιῶται, ἐκπλῆσαι τὰς γνώμας αὐτῶν· ὥστε καὶ τοῦτο μεμαθήκασι πάντες οἱ μετ᾿ αὐτοῦ, ὅτι ἐκ τῶν πόνων καὶ
16 τὰ μαλακὰ γίγνεται. καὶ μὴν ἐγκρατέστατός γ᾿ ἐστὶν ὧν ἐγὼ οἶδα τῶν περὶ τὸ σῶμα ἡδονῶν· ὥστε οὐδὲ διὰ ταῦτα ἀσχολίαν ἔχει τὸ μὴ πράττειν ἀεὶ τὸ δεόμενον. ὑμεῖς οὖν σκεψάμενοι εἴπατε πρὸς ἐμέ, ὥσπερ ὑμῖν προσήκει, ὁποῖα δυνήσεσθέ τε καὶ μέλλετε ποιήσειν.

17 Ὁ μὲν ταῦτα εἶπεν. οἱ δὲ Λακεδαιμόνιοι τότε μὲν ἀνεβάλοντο τὴν ἀπόκρισιν· τῇ δ᾿ ὑστεραίᾳ καὶ τῇ τρίτῃ λογισάμενοι τάς τ᾿ ἔξω μόρας ὅσαι αὐτοῖς εἶεν καὶ τὰς περὶ Λακεδαίμονα πρὸς τὰς τῶν Ἀθηναίων τριήρεις καὶ τὸν πρὸς τοὺς ὁμόρους πόλεμον ἀπεκρίναντο, ὅτι ἐν τῷ παρόντι οὐκ ἂν δύναιντο ἱκανὴν αὐτῷ ἐκπέμψαι ἐπικουρίαν, ἀλλ᾿ ἀπιόντα συντίθεσθαι αὐτὸν ἐκέλευον ὅπῃ δύναιτο ἄριστα τά τε ἑαυτοῦ καὶ τὰ τῆς πόλεως.
18 κἀκεῖνος μέντοι ἐπαινέσας τὴν ἁπλότητα τῆς πόλεως ἀπῆλθεν. καὶ τὴν μὲν ἀκρόπολιν τῶν Φαρσαλίων ἐδεῖτο τοῦ Ἰάσονος μὴ ἀναγκάσαι αὐτὸν παραδοῦναι, ὅπως τοῖς παρακαταθεμένοις δια-

---

Acc. relat. — *οὐ μάλα*] „nicht leicht“. — *ὅσπερ*] Acc. relat. = *ὥσπερ*. — *ποιησάμενος*] konzessiv. — *ὅταν*] „erst dann wann“. — *διαπράξηται*] verb. mit *ὅταν*. — *ἐπιπονήσαντες*] Part. explic. — *γνώμας*] „Wünsche und Erwartungen“.

16. *καὶ μήν*] starker Übergang „aber auch“. — *ὧν*] *τούτων τῶν ἀνθρώπων, οὕς*, Gen. part. — *ἡδονῶν*] Genet. d. Inferiorität, wovon abhängig? — *ἀσχολία*] gebildet wie *negotium* „Abhaltung“, demgemäfs *μή* abundierend. — *τὸ πράττειν*] Acc. d. Bez. — *τὸ δεόμενον*] *πράττεσθαι* statt *τὸ δέον*; das Deponens ist gewissermafsen personifizierend „was der Ausführung bedarf“. — *μέλλετε*] mit Inf. Fut. es steht zu erwarten, voraussichtlich.

17. *συντίθεσθαι*] *componere*. — *τὸν … πόλεμον*] drittes Objekt zu *λογισάμενοι*, nicht von *πρός* abhängig. — *τοὺς ὁμόρους*] aus dem Zusammenhange nicht mehr festzustellen, vermutlich die Messenier. — *καὶ μέντοι*] vgl. § 3.

18. *ἁπλότητα*] Einfachheit, d. i. „Aufrichtigkeit“, sprichwörtlich von Sparta; Hom. Il.: *οὐδ᾿ ἀφαμαρτοεπής*; Gegensatz *διπλοῦς* vgl. IV, 1, 32. 37; diplomatisch. — *ἀκρόπολιν*] emphat. Stellung, Objekt wozu? — *παρακατα-*

σώζῃ· τοὺς δὲ ἑαυτοῦ παῖδας ἔδωκεν ὁμήρους, ὑποσχόμενος αὐτῷ τήν τε πόλιν πείσας ἑκοῦσαν σύμμαχον ποιήσειν καὶ ταγὸν συγκαταστήσειν αὐτόν. ὡς δὲ τὰ πιστὰ ἔδοσαν ἀλλήλοις, εὐθὺς μὲν οἱ Φαρσάλιοι εἰρήνην ἦγον, ταχὺ δὲ ὁ Ἰάσων ὁμολογουμένως ταγὸς τῶν Θετταλῶν καθειστήκει. ἐπεί γε μὴν ἐτάγευσε, διέταξεν ἱππι- 19
κόν τε ὅσον ἑκάστη πόλις δυνατὴ ἦν παρέχειν καὶ ὁπλιτικόν. καὶ ἐγένοντο αὐτῷ ἱππεῖς μὲν σὺν τοῖς συμμάχοις πλείους ἢ ὀκτακισχίλιοι, ὁπλῖται δὲ ἐλογίσθησαν οὐκ ἐλάττους δισμυρίων, πελταστικόν γε μὴν ἱκανὸν πρὸς πάντας ἀνθρώπους ἀντιταχθῆναι· ἔργον γὰρ ἐκείνων γε καὶ τὰς πόλεις ἀριθμῆσαι. προεῖπε δὲ τοῖς περιοίκοις πᾶσι καὶ τὸν φόρον, ὥσπερ ἐπὶ Σκόπα τεταγμένος ἦν, φέρειν. καὶ ταῦτα μὲν οὕτως ἐπεραίνετο· ἐγὼ δὲ πάλιν ἐπάνειμι ὅθεν εἰς τὰς περὶ Ἰάσονος πράξεις ἐξέβην.

Οἱ μὲν γὰρ Λακεδαιμόνιοι καὶ οἱ σύμμαχοι συνελέγοντο εἰς 2
τοὺς Φωκέας, οἱ δὲ Θηβαῖοι ἀναχωρήσαντες εἰς τὴν αὑτῶν ἐφύλαττον τὰς εἰσβολάς. οἱ δ᾽ Ἀθηναῖοι αὐξανομένους μὲν ὁρῶντες διὰ σφᾶς τοὺς Θηβαίους χρήματά τε οὐ συμβαλλομένους εἰς τὸ ναυτικόν, αὐτοὶ δὲ ἀποκναιόμενοι καὶ χρημάτων εἰσφοραῖς καὶ λῃστείαις ἐξ Αἰγίνης καὶ φυλακαῖς τῆς χώρας ἐπεθύμησαν παύσασθαι τοῦ πολέμου καὶ πέμψαντες πρέσβεις εἰς Λακεδαίμονα εἰρήνην ἐποιήσαντο.

θεμένοις] vgl. § 2. — *πείσας*] durch ein Substantiv zu geben. — *συγκαταστήσειν*] *σὺν ταῖς πόλεσιν.*

19. *πάντας ἀνθρώπους*] hyperbol. „alle Welt“. — *ἔργον*] prägn. sc. *μέγα ἐστίν.* — *καὶ τὰς πόλεις*] *τῶν κύκλῳ ἐθνῶν,* „auch nur d. St.“. — *προεῖπε*] Verb. imperandi. — *Σκόπας*] thessal. Fürst in Krannon; vgl. Skopaden und Aleuaden. — *περὶ Ἰάσονος*] der Gen. mit Bezug auf *πράξεις,* d. i. prägnant Thatenbericht. — *ἐξέβην*] *digressus sum.*

Kap. 2. § 1: Friedensschlufs zwischen Athen und Sparta (374 v. Chr.). — § 2/14: Neuer Krieg um Korcyra (374). Absendung und Absetzung des Timotheus (373). Rüstungen des Iphikrates (373). — § 15/26: Niederlage der Lacedämonier auf Korcyra (373). — § 27/32: Lob des Iphikrates; seine Fahrt nach Korcyra (372). — § 33/39: Thaten des Iphikrates im ionischen Meere und an den Küsten des Peloponnes. Seine Mitfeldherren (372).

1. *συνελέγοντο*] vgl. 1, 1. — *εἰσβολάς*] örtliche Bedeutung. — *διὰ σφᾶς*] zur Sache vgl. V, 4, 62. — *τε οὐ*] log. subordiniert, „ohne doch“. — *συμβαλλομένους*] „mitbeisteuern“. — *αὐτοὶ δὲ ἀποκναιόμενοι*] koord. zu *αὐξανομένους μέν*; also wovon abhängig? — *εἰσφοραῖς*] direkte Steuer. — *λῃστείαις*] *γιγνομέναις*; zur Sache vgl. V, 1, 1. 29. — *εἰρ. ἐποιήσαντο*] Fr. schliefsen;

2 Εὐθὺς δ' ἐκεῖθεν δύο τῶν πρέσβεων πλεύσαντες κατὰ δόγμα
τῆς πόλεως εἶπον τῷ Τιμοθέῳ ἀποπλεῖν οἴκαδε ὡς εἰρήνης οὔσης·
ὁ δ' ἅμ' ἀποπλέων τοὺς τῶν Ζακυνθίων φυγάδας ἀπεβίβασεν εἰς
3 τὴν χώραν αὐτῶν. ἐπεὶ δὲ οἱ ἐκ τῆς πόλεως Ζακύνθιοι πέμ-
ψαντες πρὸς τοὺς Λακεδαιμονίους ἔλεγον, οἷα πεπονθότες εἶεν
ὑπὸ τοῦ Τιμοθέου, εὐθὺς οἱ Λακεδαιμόνιοι ἀδικεῖν τε ἡγοῦντο
τοὺς Ἀθηναίους καὶ ναυτικὸν πάλιν κατεσκεύαζον καὶ συνετάττοντο
εἰς ἑξήκοντα ναῦς ἀπ' αὐτῆς τε τῆς Λακεδαίμονος καὶ Κορίνθου
καὶ Λευκάδος καὶ Ἀμβρακίας καὶ Ἤλιδος καὶ Ζακύνθου καὶ
Ἀχαΐας καὶ Ἐπιδαύρου καὶ Τροιζῆνος καὶ Ἑρμιόνος καὶ Ἁλιέων.
4 ἐπιστήσαντες δὲ ναύαρχον Μνάσιππον ἐκέλευον τῶν τε ἄλλων ἐπι-
μελεῖσθαι τῶν κατ' ἐκείνην τὴν θάλατταν καὶ στρατεύειν ἐπὶ
Κέρκυραν. ἔπεμψαν δὲ καὶ πρὸς Διονύσιον διδάσκοντες, ὡς καὶ
5 ἐκείνῳ χρήσιμον εἴη τὴν Κέρκυραν μὴ ὑπ' Ἀθηναίοις εἶναι. καὶ
ὁ μὲν δὴ Μνάσιππος, ἐπεὶ συνελέγη αὐτῷ τὸ ναυτικόν, ἔπλευσεν
εἰς τὴν Κέρκυραν· εἶχε δὲ καὶ μισθοφόρους σὺν τοῖς ἐκ Λακεδαί-
μονος μετ' αὐτοῦ στρατευομένοις οὐκ ἐλάττους χιλίων καὶ πεν-
6 τακοσίων. ἐπεὶ δὲ ἀπέβη, ἐκράτει τε τῆς γῆς καὶ ἐδῄου ἐξειρ-
γασμένην μὲν παγκάλως καὶ πεφυτευμένην τὴν χώραν, μεγαλοπρεπεῖς
δὲ οἰκήσεις καὶ οἰνῶνας κατεσκευασμένους ἐπὶ τῶν ἀγρῶν· ὥστ'
ἔφασαν τοὺς στρατιώτας εἰς τοῦτο τρυφῆς ἐλθεῖν, ὥστ' οὐκ ἐθέλειν

εἰρ. ποιεῖν Fr. zustande bringen; *εἰρ. πράττειν* Fr. betreiben; *εἰρ. ἄγειν* ... *ἔχειν* Fr. halten. Der hier nur kurz angedeutete Friede war nach anderen Zeugnissen hochbedeutsam und analog dem Antalcidischen Frieden.

2. *Τιμοθέῳ*] zuletzt V, 4, 66 erwähnt; damals in Akarnanien. — *Ζακυνθίων*] die vorausgegangenen polit. Zerwürfnisse sind bisher in den Hellenika nicht erwähnt.

3. *ὑπό*] vgl. zu 1, 12. — *συνετάττοντο*] *σύνταγμα* Kontingent, vgl. V, 2, 20. — *Λευκάς, Ζάκυνθος*] Inseln im ion. M. — *Ἀμβρακία*] St. in Akarnanien; die übrigen Kontingente aus dem Peloponnes und zwar die vier letzten aus Argolis.

4. *Διονύσιον*] *τὸν Συρακούσιον*; der Ältere; vgl. V, 1, 26. 28; 3, 27. — *διδάσκοντες*] Part. de conatu, mit *ὡς* konstr. wie *πείθω*. — *μὴ εἶναι*] *μή* wegen des in *χρήσιμον* liegenden Verb. cupiendi. — *χρήσιμον*] erklärt § 9.

6. *ἐξειργασμένην*] prädikat. Apposition mit konzessivem Nebensinne. — *πεφυτευμένην*] „bepflanzt". — *εἰς τοῦτο τρυφῆς*] Diese partitive Verbindung, welche abweichend vom Lat. nur in adverbiellem Sinne und daher nur mit einer Präposition möglich ist, hat in der Regel nur den faktischen Konsekutivsatz *ὥστε* c. Ind. = *itaque* nach sich; der hier folgende Infin. *ἐθέλειν* ist daher nur Inf. Or. obl. und bleibt mit *οὐ* wie bei dem Indik. verbunden. —

πίνειν, εἰ μὴ ἀνθοσμίας εἴη. καὶ ἀνδράποδα δὲ καὶ βοσκήματα
πάμπολλα ἡλίσκετο ἐκ τῶν ἀγρῶν. ἔπειτα δὲ κατεστρατοπεδεύσατο 7
τῷ μὲν πεζῷ ἐπὶ λόφῳ ἀπέχοντι τῆς πόλεως ὡς πέντε στάδια,
πρὸ τῆς χώρας ὄντι, ὅπως ἀποτέμνοιτο ἐντεῦθεν εἴ τις ἐπὶ τὴν
χώραν τῶν Κερκυραίων ἐξίοι· τὸ δὲ ναυτικὸν εἰς τἀπὶ θάτερα
τῆς πόλεως κατεστρατοπέδευσεν, ἔνθεν ᾤετ᾽ ἂν τὰ προσπλέοντα
καὶ προαισθάνεσθαι καὶ διακωλύειν. πρὸς δὲ τούτοις καὶ ἐπὶ
τῷ λιμένι, ὁπότε μὴ χειμὼν κωλύοι, ἐφώρμει. ἐπολιόρκει μὲν δὴ 8
οὕτω τὴν πόλιν. ἐπεὶ δὲ οἱ Κερκυραῖοι ἐκ μὲν τῆς γῆς οὐδὲν
ἐλάμβανον διὰ τὸ κρατεῖσθαι κατὰ γῆν, κατὰ θάλατταν δὲ οὐδὲν
εἰσήγετο αὐτοῖς διὰ τὸ ναυκρατεῖσθαι, ἐν πολλῇ ἀπορίᾳ ἦσαν· καὶ 9
πέμποντες πρὸς τοὺς Ἀθηναίους βοηθεῖν τε ἐδέοντο καὶ ἐδίδασκον,
ὡς μέγα μὲν ἀγαθὸν ἀποβάλοιεν ἄν, εἰ Κερκύρας στερηθεῖεν, τοῖς
δὲ πολεμίοις μεγάλην ἂν ἰσχὺν προσβάλοιεν· ἐξ οὐδεμιᾶς γὰρ πό-
λεως πλήν γε Ἀθηνῶν οὔτε ναῦς οὔτε χρήματα πλείονα ἂν γενέ-
σθαι. ἔτι δὲ κεῖσθαι τὴν Κέρκυραν ἐν καλῷ μὲν τοῦ Κορινθιακοῦ
κόλπου καὶ τῶν πόλεων, αἳ ἐπὶ τοῦτον καθήκουσιν, ἐν καλῷ δὲ
τοῦ τὴν Λακωνικὴν χώραν βλάπτειν, ἐν καλλίστῳ δὲ τῆς τε ἀντι-
πέραν Ἠπείρου καὶ τοῦ εἰς Πελοπόννησον ἀπὸ Σικελίας παράπλου.
ἀκούσαντες δὲ ταῦτα οἱ Ἀθηναῖοι ἐνόμισαν ἰσχυρῶς ἐπιμελητέον 10
εἶναι καὶ ταγὸν πέμπουσι Στησικλέα εἰς ἑξακοσίους ἔχοντα πελ-
ταστάς, Ἀλκέτου δὲ ἐδεήθησαν συνδιαβιβάσαι τούτους. καὶ οὗτοι 11
μὲν νυκτὸς διακομισθέντες που τῆς χώρας εἰσῆλθον εἰς τὴν πόλιν.
ἐψηφίσαντο δὲ καὶ ἑξήκοντα ναῦς πληροῦν, Τιμόθεον δ᾽ αὐτῶν

πίνειν] erg. οἶνον aus ἀνθοσμίας sc. οἶνος. — ἀνθοσμίας] adjektivisches Substantiv wie im Lat. *victor*, gebildet aus ἄνθος und ὀσμή. — ἡλίσκετο] beachte das Tempus.

7. πρὸ τῆς χώρας ὄντι] Zusatz zur Hervorhebung, dafs der Hügel immerhin noch zwischen der Stadt und den eigentlichen Ländereien lag; vgl. § 8: διὰ τὸ κρατεῖσθαι κατὰ γῆν. — τῶν Κερκυραίων] partitiv zu τις wie sich aus ἐξίοι ergiebt. — εἰς τἀπὶ θάτερα] substant. Adverb, eigentl. auf die Seite, welche nach dem anderen Teil der Stadt blickt = „auf die andere Seite“. — κατεστρατοπέδευσαν] das Akt. vom vorausgehenden Med. zu unterscheiden. — ᾤετο ἂν] Wozu gehört ἄν? Vgl. V, 1, 15.

9. ἐδίδασκον] wie § 4. — ἂν ... προσβάλοιεν] abweichende Stellung der Partikel. — οὔτε] abundierende Negation. — ναῦς] πλείονας. — ἐν καλῷ] τόπῳ = καλῶς mit Gen. relat., „günstig für“.

10. καὶ ... πέμπουσι] διὰ τοῦτο; kausale Parataxis. — Ἀλκέτου] 1, 7.

11. διακομισθέντες] prägn., erg. καὶ

12 στρατηγὸν ἐχειροτόνησαν. ὁ δ' οὐ δυνάμενος αὐτόθεν τὰς ναῦς πληρῶσαι ἐπὶ νήσων πλεύσας ἐκεῖθεν ἐπειρᾶτο* συμπληροῦν, οὐ φαῦλον ἡγούμενος εἶναι ἐπὶ συγκεκροτημένας ναῦς εἰκῇ περιπλεῦσαι.
13 οἱ δ' Ἀθηναῖοι νομίζοντες αὐτὸν ἀναλοῦν τὸν τῆς ὥρας εἰς τὸν περίπλουν χρόνον συγγνώμην οὐκ ἔσχον αὐτῷ, ἀλλὰ παύσαντες αὐ-
14 τὸν τῆς στρατηγίας Ἰφικράτην ἀνθαιροῦνται. ὁ δ' ἐπεὶ κατέστη στρατηγός, μάλα ὀξέως τὰς ναῦς ἐπληροῦτο καὶ τοὺς τριηράρχους ἠνάγκαζεν. προσέλαβε δὲ παρὰ τῶν Ἀθηναίων καὶ εἴ πού τις ναῦς περὶ τὴν Ἀττικὴν ἔπλει καὶ τὴν Πάραλον καὶ τὴν Σαλαμινίαν, λέγων, ὡς, ἐὰν τἀκεῖ καλῶς γένηται, πολλὰς αὐτοῖς ναῦς
15 ἀποπέμψοι. καὶ ἐγένοντο αὐτῷ αἱ ἅπασαι περὶ ἑβδομήκοντα. ἐν δὲ τούτῳ τῷ χρόνῳ οἱ Κερκυραῖοι οὕτω σφόδρα ἐπείνων, ὥστε διὰ τὸ πλῆθος τῶν αὐτομολούντων ἐκήρυξεν ὁ Μνάσιππος πεπρᾶσθαι ὅστις αὐτομολοίη. ἐπεὶ δὲ οὐδὲν ἧττον ηὐτομόλουν, τελευτῶν καὶ μαστιγῶν ἀπέπεμπεν. οἱ μέντοι ἔνδοθεν τούς γε δούλους οὐκ
16 ἐδέχοντο πάλιν εἰς τὸ τεῖχος, ἀλλὰ πολλοὶ ἔξω ἀπέθνησκον. ὁ δ' αὖ Μνάσιππος ὁρῶν ταῦτα ἐνόμιζέ τε ὅσον οὐκ ἤδη ἔχειν τὴν πόλιν καὶ περὶ τοὺς μισθοφόρους ἐκαινούργει καὶ τοὺς μέν τινας αὐτῶν ἀπομίσθους ἐπεποιήκει, τοῖς δέ τισι καὶ δυοῖν ἤδη μηνοῖν

ἀποβάντες που. — ἐχειροτόνησαν] = χειροτονίᾳ εἵλοντο.

12. πληρῶσαι] ingressiv. — συμπληροῦν] durativ. — ἐπὶ νήσων] wie ἐπ' οἴκου, Vermischung des erstrebten Ziels und des erreichten Standpunkts, vgl. V, 3, 6. — φαῦλον] *levis momenti.* — συγκεκροτημένας] *bene instructas.* — εἰκῇ] *temere.* — περιπλεῦσαι] warum dieses Kompositum? Vgl. § 13 περίπλους; V, 4, 63.

13. ἀναλοῦν] ἀναλίσκειν. — τῆς ὥρας] „günstige J.“. — συγγνώμην] setzt eine Anklage voraus.

14. μάλα ὀξέως] „mit energischer Strenge“. — ἠνάγκαζε] τριηραρχεῖν, d. h. die kostspielige und daher verhaſste Leistung für den Staat (Liturgie), näml. die Ausrüstung und Befehligung einer Triere zu übernehmen. — καὶ εἰ ... ἔπλει] parallel mit καὶ τ. Π. καὶ τ. Σ. — Πάραλον ... Σαλαμινίαν] die beiden Staatsschiffe Athens, welche meist zu Regierungszwecken und nur gelegentlich zu Kämpfen herangezogen wurden. — καλῶς γένηται] „gut ablaufen“. — αἱ ἅπασαι] vgl. V, 1, 28.

15. ἐκήρυξεν] phraseolog. „sah sich genötigt z. v.“. — πεπρᾶσθαι] Tempus zur Bezeichnung des Resultats einer vollendeten Handlung, hier = δουλεύειν, vgl. V, 4, 7 κεκλεῖσθαι; VI, 4, 25 συνεσκευάσθαι. — τελευτῶν] adverbiell, nicht koord. zu μαστιγῶν. — οἱ ἔνδοθεν] vgl. V, 3, 11. — τούς γε] *quidem.* — πολλοί] prädikat. — ἀπέθνησκον] οἱ δοῦλοι, Subjektswechsel.

16. ὅσον οὐ] vgl. V, 2, 13. — ἀπομίσθους ἐπεποιήκει] *dimiserat*, vgl.

*ὤφειλε τὸν μισθόν, οὐκ ἀπορῶν, ὡς ἐλέγετο, χρημάτων· καὶ γὰρ
τῶν πόλεων αἱ πολλαὶ αὐτῷ ἀργύριον ἀντὶ τῶν ἀνδρῶν ἔπεμπον,
ἅτε καὶ διαποντίου τῆς στρατείας οὔσης. κατιδόντες δὲ ἀπὸ τῶν* 17
*πύργων οἱ ἐκ τῆς πόλεως τάς τε φυλακὰς χεῖρον ἢ πρόσθεν
φυλαττομένας ἐσπαρμένους τε κατὰ τὴν χώραν τοὺς ἀνθρώπους
ἐπεκδραμόντες τοὺς μέν τινας αὐτῶν ἔλαβον, τοὺς δὲ κατέκοψαν.
αἰσθόμενος δὲ ὁ Μνάσιππος αὐτός τε ἐξωπλίζετο καὶ ὅσους εἶχεν* 18
*ὁπλίτας ἅπασιν ἐβοήθει καὶ τοὺς λοχαγοὺς καὶ τοὺς ταξιάρχους
ἐξάγειν ἐκέλευε τοὺς μισθοφόρους. ἀποκριναμένων δέ τινων λο-* 19
*χαγῶν, ὅτι οὐ ῥᾴδιον εἴη μὴ διδόντας τἀπιτήδεια πειθομένους
παρέχειν, τὸν μέν τινα βακτηρίᾳ, τὸν δὲ τῷ στύρακι ἐπάταξεν.
οὕτω μὲν δὴ ἀθύμως ἔχοντες καὶ μισοῦντες αὐτὸν συνεξῆλθον
πάντες· ὅπερ ἥκιστα εἰς μάχην συμφέρει. ὁ δ᾽ ἐπεὶ παρετάξατο,* 20
*αὐτὸς μὲν τοὺς κατὰ τὰς πύλας τῶν πολεμίων τρεψάμενος ἐπε-
δίωκεν· οἱ δ᾽ ἐπεὶ ἐγγὺς τοῦ τείχους ἐγένοντο, ἀνεστρέφοντό τε
καὶ ἀπὸ τῶν μνημάτων ἔβαλλον καὶ ἠκόντιζον· ἄλλοι δ᾽ ἐκδρα-
μόντες καθ᾽ ἑτέρας πύλας ἐπιτίθενται ἀθρόοι τοῖς ἐσχάτοις· οἱ* 21
*δ᾽ ἐπ᾽ ὀκτὼ τεταγμένοι, ἀσθενὲς νομίσαντες τὸ ἄκρον τῆς φάλαγγος
ἔχειν, ἀναστρέφειν ἐπειρῶντο. ὡς δ᾽ ἤρξαντο ἐπαναχωρεῖν, οἱ μὲν
πολέμιοι ὡς φεύγουσιν ἐπέθεντο, οἱ δ᾽ οὐκέτι ἐπανέστρεψαν· καὶ
οἱ ἐχόμενοι δ᾽ αὐτῶν εἰς φυγὴν ὥρμων. ὁ δὲ Μνάσιππος τοῖς* 22

1, 6 *ἐκβάλλει.* — *ἀπορῶν*] konzessiv „ohne doch“. — *τινας ... τισι*] *μισθοφόρους* ist hier kollektiv zu verstehen „Söldnertruppen“. — *ἀργύριον*] zur Sache vgl. V, 2, 21.

17. *οἱ ἐκ τῆς πόλεως*] wie § 15.

18. *ἅπασιν*] persönl. Dat. instr. — *λοχαγούς ... ταξιάρχους*] erstere Führer eines *λόχος*, letztere einer *τάξις*, welche 2 *λόχοι* umfafst.

19. *μὴ διδόντας*] hypothet. Apposition, als Subjekt ergänze *αὐτούς*. — *τἀπιτήδεια*] zur Sache vgl. § 16. — *πειθομένους*] *τοὺς μισθοφόρους*, prädikat. — *ὅπερ συμφέρει*] pragmat. Bemerkung.

20. *παρετάξατο*] gegenüber den *ἐπεκδραμόντας*, § 17. — *κατὰ τὰς πύλας*] entlang, d. i. vor d. Th. — *τῶν πολεμίων*] Gen. partit. — *μνημάτων*] Grabdenkmäler, hier als Bollwerke verwendet. — *ἔβαλλον*] *δόρατα*, d. i. die Stofslanzen der Hopliten. — *ἠκόντιζον*] *ἀκόντια*, d. i. Wurfspeere. — *ἀθρόοι*] in Kolonnen. — *τοῖς ἐσχάτοις*] die Mannschaften des äufsersten linken Flügels.

21. *ἐπ᾽ ὀκτώ*] nur 8 Mann tief. — *ἀσθενές*] „zu sch.“, im Verhältnis zu *ἀθρόοι*. — *τὸ ἄκρον*] vgl. *τοῖς ἐσχάτοις*, die Tiefe des Flügels. — *ἔχειν*] abh. von *νομίσαντες*. — *ἀναστρέφειν*] „einschwenken“. — *καὶ ... δέ*] vgl. V, 1, 11.

μὲν πιεζομένοις οὐκ ἐδύνατο βοηθεῖν διὰ τοὺς ἐκ τοῦ κατ᾽ ἀντικρὺ προσκειμένους, ἀεὶ δ᾽ ἐλείπετο σὺν ἐλάττοσιν. τέλος δὲ οἱ πολέμιοι ἀθρόοι γενόμενοι πάντες ἐπετίθεντο τοῖς περὶ τὸν Μνάσιππον, ἤδη μάλα ὀλίγοις οὖσιν. καὶ οἱ πολῖται ὁρῶντες τὸ γιγνόμενον
23 ἐπεξῄεσαν. ἐπεὶ δ᾽ ἐκεῖνον ἀπέκτειναν, ἐδίωκον ἤδη ἅπαντες. ἐκινδύνευσαν δ᾽ ἂν καὶ τὸ στρατόπεδον ἑλεῖν σὺν τῷ χαρακώματι, εἰ μὴ οἱ διώκοντες τὸν ἀγοραῖόν τε ὄχλον ἰδόντες καὶ τὸν τῶν θεραπόντων καὶ τὸν τῶν ἀνδραπόδων, οἰηθέντες ὄφελός τι αὐτῶν
24 εἶναι, ἀπεστρέφοντο. καὶ τότε μὲν τρόπαιόν τε ἵστασαν οἱ Κερκυραῖοι τούς τε νεκροὺς ὑποσπόνδους ἀπεδίδοσαν. ἐκ δὲ τούτου οἱ μὲν ἐν τῇ πόλει ἐρρωμενέστεροι ἐγεγένηντο, οἱ δ᾽ ἔξω ἐν πάσῃ δὴ ἀθυμίᾳ ἦσαν. καὶ γὰρ ἐλέγετο, ὅτι Ἰφικράτης ὅσον οὐκ ἤδη
25 παρείη, καὶ οἱ Κερκυραῖοι δὲ τῷ ὄντι ναῦς ἐπλήρουν. Ὑπερμένης δέ, ὃς ἐτύγχανεν ἐπιστολιαφόρος τῷ Μνασίππῳ ὤν, τό τε ναυτικὸν πᾶν ὅσον ἦν ἐκεῖ συνεπλήρωσε καὶ περιπλεύσας πρὸς τὸ χαράκωμα τὰ πλοῖα πάντα γεμίσας τῶν τε ἀνδραπόδων καὶ τῶν χρημάτων ἀπέστελλεν· αὐτὸς δὲ σύν τε τοῖς ἐπιβάταις καὶ τοῖς
26 περισωθεῖσι τῶν στρατιωτῶν διεφύλαττε τὸ χαράκωμα· τέλος δὲ καὶ οὗτοι μάλα τεταραγμένοι ἀναβάντες ἐπὶ τὰς τριήρεις ἀπέπλεον, πολὺν μὲν σῖτον, πολὺν δὲ οἶνον, πολλὰ δὲ ἀνδράποδα καὶ ἀσθενοῦντας στρατιώτας καταλιπόντες· δεινῶς γὰρ ἐπεφόβηντο,

---

22. *ἐκ τοῦ κατ᾽ ἀντικρὺ*] τόπου. — *ἀεί*] verb. mit *ἐλάττοσιν*.

23. *ἐπεὶ δ᾽ ἐκεῖνον ἀπέκτειναν*] die beiläufige Erwähnung dieses wichtigen Faktums in einem Nebensätzchen erinnert an den ähnlichen Schlachtenbericht über den Tod Lysanders, vgl. III, 5, 19 und des Epaminondas VII, 5, 25. — *ἐκινδύνευσαν*] eigentl. „Gefahr laufen“, dann „wagen“ und somit „wahrscheinlich erreichen“. — *στρατόπεδον*] vgl. § 7. — *ἀγοραῖος ὄχλος*] Trofs der Handelsleute. — *ὄφελος*] prägn. „Kampftüchtigkeit“, vgl. V, 3, 6. — *ἀπεστρέφοντο*] Irreal. Präter.; wegen des durativen Sinns das Imperf. statt des Aorists.

24. *ὑποσπόνδους*] prädik. zu *ἀποδιδόναι* u. a. m.; vox propria für das Zugeständnis der Besiegung, welches in der Erbittung eines Waffenstillstandes zur Totenbestattung besteht; das positive Merkmal des Sieges *τρόπαιον ἱστάναι* ist meist damit verbunden. — *πάσῃ*] „völlig“. — *ὅσον οὐκ*] vgl. V, 2, 13. — *Ἰφικράτης*] vgl. § 10. 13. — *τῷ ὄντι*] Bestätigung der Triftigkeit der *ἀθυμία*.

25. *ἐπιστολιαφόρος*] = *ἐπιστολεύς*, Unterbefehlshaber z. See. — *γεμίσας*] Causativum zu *γέμω*. — *ἐπιβάταις*] Seesoldaten. — *στρατιωτῶν*] Landsoldaten, § 7; beachte die prädik. Stellung.

26. *ἐπεφόβηντο*] Plusqpf. der Vollendung = Imperf. des Resultats.

μὴ καταληφθεῖεν ὑπὸ τῶν Ἀθηναίων ἐν τῇ νήσῳ.' καὶ ἐκεῖνοι μὲν εἰς Λευκάδα ἀπεσώθησαν.

Ὁ δὲ Ἰφικράτης ἐπεὶ ἤρξατο τοῦ περίπλου, ἅμα μὲν ἔπλει*, 27
ἅμα δὲ πάντα ὅσα εἰς ναυμαχίαν παρεσκευάζετο· εὐθὺς μὲν γὰρ τὰ μεγάλα ἱστία αὐτοῦ κατέλιπεν, ὡς ἐπὶ ναυμαχίαν πλέων· καὶ τοῖς ἀκατίοις δέ, καὶ εἰ φορὸν πνεῦμα εἴη, ὀλίγα ἐχρῆτο· τῇ δὲ κώπῃ τὸν πλοῦν ποιούμενος ἄμεινόν τε τὰ σώματα ἔχειν τοὺς ἄνδρας καὶ ἄμεινον τὰς ναῦς πλεῖν ἐποίει. πολλάκις δὲ καὶ ὅπου 28
μέλλοι ἀριστοποιεῖσθαι τὸ στράτευμα ἢ δειπνοποιεῖσθαι, ἐπανήγαγεν ἂν τὸ κέρας ἀπὸ τῆς γῆς κατὰ ταῦτα τὰ χωρία. ἐπεὶ δ' ἐπιστρέψας αὖ καὶ ἀντιπρῴρους καταστήσας τὰς τριήρεις ἀπὸ σημείου ἀφίει ἀνθαμιλλᾶσθαι εἰς τὴν γῆν, μέγα δὴ νικητήριον ἦν τὸ πρώτους καὶ ὕδωρ λαβεῖν καὶ εἴ του ἄλλου ἐδέοντο καὶ πρώτους ἀριστῆσαι· τοῖς δ' ὑστάτοις ἀφικομένοις μεγάλη ζημία ἦν τό τε ἐλαττοῦσθαι πᾶσι τούτοις καὶ ὅτι ἀνάγεσθαι ἅμα ἔδει, ἐπεὶ σημήνειε· συνέβαινε γὰρ τοῖς μὲν πρώτοις ἀφικνουμένοις καθ' ἡσυχίαν ἅπαντα ποιεῖν, τοῖς δὲ τελευταίοις διὰ σπουδῆς. φυλακάς 29

27. ἅμα μέν ... ἅμα δέ] Das Vorteilhafte der Verfolgung doppelter Zwecke wird § 30 nochmals erwähnt und § 32 schliefslich pragmatisch beleuchtet. — παρεσκευάζετο] Die § 27—30 ausgeführte Schilderung findet ihren Ausdruck in den Imperfekten der Nachsätze und in den iterativen Optativen der Vordersätze. — ὅσα] ἐπιτήδεια ἦν. — τὰ μεγάλα ἱστία] die grofsen Segel am Hauptmast (ἱστὸς μέγας) wurden zur Erleichterung der Schiffskörper vor einer Seeschlacht, die mehr auf die Ruder angewiesen war, am Lande gelassen, vgl. I, 1, 13; II, 1, 22, 29. — αὐτοῦ] an Ort und Stelle, d. i. in Athen. — τοῖς ἀκατίοις] ἱστίοις, Nebensegel am Nebenmaste (ἱστὸς ἀκάτιος) in der Mitte des Schiffs. — καὶ εἰ] negat. οὐδ' εἰ, konzessiv bei Betonung des Nachsatzes, εἰ καί negat. εἰ μηδέ, konzessiv bei Betonung des Vordersatzes. — ὀλίγα] adverb. Accus. der Bez. — τῇ κώπῃ] kollektiv. — τὰ σώματα] Accus. d. Bez. — ἔχειν] intrans. warum? vgl. V, 3, 17. — τοὺς ἄνδρας] Umstellung des Subjektes.

28. ἐπανήγαγεν ἄν] Der iterative Nachsatz hat in der Regel den Indik. realis, bisweilen aber auch den Indik. irrealis. — τὸ κέρας] die Tête der hintereinander fahrenden Schiffe. — κατὰ τ. τ. χ.] gegenüber in gleichem Abstande v. d. Küste. — ἀπὸ σημείου] *signo dato*. — ἀφίει] Imperf. im Vordersatz statt des gewöhnlicheren Optat. iterativus. — ἀνθαμιλλᾶσθαι] ἀνθαμιλλωμένους ἐλαύνειν, prägnant. — πρώτους] prädikat., erg. τοὺς ναύτας. — εἴ του] = ὅτου, vgl. V, 3, 3. — πᾶσι τούτοις] Dat. d. Bez. — καὶ ὅτι ... ἔδει] koord. z. Infin. — ἅμα] τοῖς πρώτοις. — σημήνειε] ὁ σαλπιγκτής; übers. imperson. — καθ' ἡσυχίαν ... διὰ σπουδῆς] korrespond. adverbielle Ausdrücke; vgl. V, 4, 25.

γε μήν, εἰ τύχοι ἐν τῇ πολεμίᾳ ἀριστοποιούμενος, τὰς μὲν ἐν τῇ
γῇ, ὥσπερ προσήκει, καθίστη, ἐν δὲ ταῖς ναυσὶν αἰρόμενος αὖ
τοὺς ἱστοὺς ἀπὸ τούτων ἐσκοπεῖτο. πολὺ οὖν ἐπὶ πλέον οὗτοι
καθεώρων ἢ οἱ ἐκ τοῦ ὁμαλοῦ, ἀφ' ὑψηλοτέρου καθορῶντες. ὅπου
δὲ δειπνοποιοῖτο καὶ καθεύδοι, ἐν μὲν τῷ στρατοπέδῳ νύκτωρ
πῦρ οὐκ ἔκαε, πρὸ δὲ τοῦ στρατεύματος φῶς ἐποίει, ἵνα μηδεὶς
λάθῃ προσιών. πολλάκις δέ, εἰ εὐδία εἴη, εὐθὺς δειπνήσας ἀνή-
γετο· καὶ εἰ μὲν αὔρα φέροι, θέοντες ἅμα ἀνεπαύοντο· εἰ δὲ
30 ἐλαύνειν δέοι, κατὰ μέρος τοὺς ναύτας ἀνέπαυεν. ἐν δὲ τοῖς μεθ'
ἡμέραν πλοῖς ἀπὸ σημείων τοτὲ μὲν ἐπὶ κέρως ἦγε, τοτὲ δ' ἐπὶ
φάλαγγος· ὥστε ἅμα μὲν ἔπλεον, ἅμα δὲ πάντα ὅσα εἰς ναυμα-
χίαν καὶ ἠσκηκότες καὶ ἐπιστάμενοι εἰς τὴν ὑπὸ τῶν πολεμίων,
ὡς ᾤοντο, κατεχομένην θάλατταν ἀφικνοῦντο. καὶ τὰ μὲν πολλὰ
ἐν τῇ πολεμίᾳ καὶ ἠρίστων καὶ ἐδείπνουν· διὰ δὲ τὸ τἀναγκαῖα
μόνον πράττειν καὶ τὰς βοηθείας ἔφθανεν ἀναγόμενος καὶ ταχὺ
31 ἐπέραινεν. περὶ δὲ τὸν Μνασίππου θάνατον ἐτύγχανεν ὢν τῆς
Λακωνικῆς περὶ τὰς Σφαγίας. εἰς τὴν Ἠλείαν δὲ ἀφικόμενος

---

29. *πολεμίᾳ*] Tonwort. — *ἐν δὲ ταῖς κτλ.*] setzt statt des erwarteten *τὰς δέ* den Gedanken *τὰς μέν* in anderer Weise fort. — *αὖ*] „anderseits“. — *αἰρόμενος ἐσκοπεῖτο*] dynam. Med. des Interesses: „liefs ...“; die Mastbäume pflegten an der Küste umgelegt zu werden. — *πολύ*] verb. mit *ἐπὶ πλέον*. — *οὖν*] „natürlich“. — *οὗτοι*] Construct. ad sensum = *οἱ ἀπὸ τούτων σκοποῦντες*. — *οἱ ἐκ τοῦ ὁμαλοῦ*] vgl. *τὰς ἐν τῇ γῇ φυλακάς*. — *πρὸ δὲ ... ἐποίει*] Anwendung eines bekannten Naturgesetzes; vgl. Anab. VII, 2, 18. — *εἰ ... εἴη*] iterativ. — *αὔρα φέροι*] absolut, erg. *τὰς ναῦς*; *αὔρα* dasselbe Wort im Lat. — *θέοντες*] *πλέοντες*. — *ἐλαύνειν*] *ταῖς κώπαις*. — *κατὰ μέρος*] *vicissim*.

30. *ἀπὸ σημείων*] vgl. § 28; der Plural mit Bezug auf *πλοῖς*. — *ἐπὶ κέρως*] so dafs der Flügel vorangeht, d. i. „Schiff hinter Schiff“. — *ἐπὶ φάλαγγος*] „Schiff neben Schiff“, zu Lande „Heeresfront“. — *ἅμα μὲν ... δέ*] zur Sache vgl. § 27. — *ὅσα*] vgl. § 27. — *θάλατταν*] bei Zakynthos und Kephallenia, vgl. § 31. — *τὰ πολλά*] adverb. wie *ὀλίγα* § 27. — *πολεμία*] die lakonische Küste. — *τὰς βοηθείας*] *τοὺς βοηθοῦντας πολεμίους*, abh. von *ἔφθανεν* sc. *φεύγων*. Der Grundbegriff von *βοηθεῖν* „auf den Ruf herbei eilen“, sei es zur Abwehr oder zum Angriff. — *ἀναγόμενος*] *φυγῇ*. — *ἐπέραινε*] *τὴν ὁδόν*; vgl. *κατανύειν* V, 4, 20. 49.

31. *περὶ τὸν θάνατον*] Breviloquenz für *π. τ. τοῦ θανάτου χρόνον*; vgl. im Lat. *bello Punico* = *tempore b. P.*, *Tarquinio regnante* = *tempore Tarqu. regnantis*. — *Σφαγίαι*] = *Σφακτηρία*, Insel bei Pylos in Messene, welches damals einen Teil von Lakonien bildete. — *εἰς τήν*] Hier wird die Er-

καὶ παραπλεύσας τὸ τοῦ Ἀλφειοῦ στόμα ὑπὸ τὸν Ἰχθῦν καλούμενον ὡρμίσατο. τῇ δ' ὑστεραίᾳ ἐντεῦθεν ἀνήγετο ἐπὶ τῆς Κεφαλληνίας, οὕτω καὶ τεταγμένος καὶ τὸν πλοῦν ποιούμενος, ὡς, εἰ δέοι, πάντα ὅσα χρὴ παρεσκευασμένος ναυμαχοίη. καὶ γὰρ τὰ περὶ τοῦ Μνασίππου αὐτόπτου μὲν οὐδενὸς ἠκηκόει, ὑπώπτευε δὲ μὴ ἀπάτης ἕνεκεν λέγοιτο, καὶ ἐφυλάττετο· ἐπεὶ μέντοι ἀφίκετο εἰς τὴν Κεφαλληνίαν, ἐνταῦθα δὴ σαφῶς ἐπύθετο καὶ ἀνέπαυε τὸ στράτευμα.

Οἶδα μὲν οὖν, ὅτι ταῦτα πάντα, ὅταν οἴωνται ναυμαχήσειν 32
ἄνθρωποι, καὶ ἀσκεῖται καὶ μελετᾶται· ἀλλὰ τοῦτο ἐπαινῶ, ὅτι, ἐπεὶ ἀφικέσθαι ταχὺ ἔδει ἔνθα τοῖς πολεμίοις ναυμαχήσειν ᾤετο, εὗρετο ὅμως μήτε διὰ τὸν πλοῦν ἀνεπιστήμονας εἶναι τῶν εἰς ναυμαχίαν μήτε διὰ τὸ ταῦτα μελετᾶν βραδύτερόν τι ἀφικέσθαι.

Καταστρεψάμενος δὲ τὰς ἐν τῇ Κεφαλληνίᾳ πόλεις ἔπλευσεν 33
εἰς Κέρκυραν. ἐκεῖ δὲ πρῶτον μὲν ἀκούσας, ὅτι προσπλέοιεν δέκα τριήρεις παρὰ Διονυσίου βοηθήσουσαι τοῖς Λακεδαιμονίοις, αὐτὸς ἐλθὼν καὶ σκεψάμενος τῆς χώρας ὅθεν τούς τε προσπλέοντας δυνατὸν ἦν ὁρᾶν καὶ τοὺς σημαίνοντας εἰς τὴν πόλιν καταφανεῖς εἶναι, ἐνταῦθα κατέστησε τοὺς σκοπούς. κἀκείνοις μὲν συνέθετο 34
προσπλεόντων τε καὶ ὁρμούντων ὡς δέοι σημαίνειν· αὐτὸς δὲ τῶν

---

zählung wieder aufgenommen, daher die Aoriste. — Ἠλεία, Ἀλφειός, Ἰχθῦς] 1. Gebiet, 2. Fluſs, 3. Vorgebirge von Elis. — Κεφαλληνία] Insel des ion. M. — τεταγμένος] kollekt. αὐτὸς σὺν τῷ στρατεύματι. — ὡς] final statt ὥστε nach οὕτως. — τὰ περὶ τοῦ Μ.] λεγόμενα, vgl. 1, 19. — ὑπώπτευε] φοβούμενος. — ἐφυλάττετο] Med. des Interesses „in seinem Interesse beob achten" = auf der Hut sein. — καὶ ἀνέπ.] = καὶ διὰ τοῦτο ἀνέπ. Das Partizip πυθόμενος würde ἀνέπαυε hier überflüssig betonen.

32. ἀσκεῖται καὶ μελετᾶται] Synonyma; ersteres betont die Technik, letzteres die Sorgfalt. — ἐπεί] temporal; zur Sache vgl. § 13—14. — ὅμως] *nihilo secius*; der konzessive Vordersatz ist aus dem Temporalsatz, speziell aus ταχὺ ἔδει, zu ergänzen. — μήτε ... μήτε] im D. subord. „einerseits nicht ... ohne doch anderseits". — εὕρετο] „ein Verfahren ausfindig machen". — ἀνεπιστήμονας] τοὺς ναύτας. — τῶν εἰς ν.] ἐπιτηδείων.

33. πρῶτον μέν] korresp. mit ἐπεὶ δ' § 34. — Διονυσίου] vgl. § 4. — βοηθήσουσαι κτλ.] vgl. zu § 35. — τῆς χώρας] abh. von ὅθεν ... ἐνταῦθα. — τοὺς ... προσπλέοντας] Objekt zu ὁρᾶν; als Subj. ergänze σκοπούς, parallel zu τ. σημαίνοντας. — καταφανεῖς] ἐν τῇ πόλει.

34. προσπλεόντων κτλ.] erg. als Subj. τῶν πολεμίων. — σημαίνειν] in beiden

τριηράρχων προσέταξεν εἴκοσιν, οὓς δεήσοι, ἐπεὶ κηρύξειεν, ἀκο-
λουθεῖν· εἰ δέ τις μὴ ἀκολουθήσοι, προεῖπε μὴ μέμψεσθαι τὴν
δίκην. ἐπεὶ δ' ἐσημάνθησαν προσπλέουσαι καὶ ἐκηρύχθη, ἀξία
ἐγένετο θέας ἡ σπουδή· οὐδεὶς γὰρ ὅστις οὐ δρόμῳ τῶν μελλόντων
35 *πλεῖν εἰσέβη εἰς τὰς ναῦς. πλεύσας δὲ ἔνθα ἦσαν αἱ πολέμιαι*
τριήρεις καταλαμβάνει ἀπὸ μὲν τῶν ἄλλων τριήρων εἰς τὴν γῆν
τοὺς ἄνδρας ἐκβεβηκότας, Μελάνιππος μέντοι ὁ Ῥόδιος τοῖς τε
ἄλλοις συνεβούλευε μὴ μένειν ἐνταῦθα καὶ αὐτὸς πληρωσάμενος
τὴν ναῦν ἐξέπλει. ἐκεῖνος μὲν οὖν καίπερ ἀπαντῶν ταῖς Ἰφικρά-
τους ναυσὶν ὅμως ἀπέφυγεν· αἱ δὲ ἀπὸ Συρακουσῶν νῆες ἅπασαι
36 *ἑάλωσαν αὐτοῖς ἀνδράσιν. ὁ μέντοι Ἰφικράτης τὰς μὲν τριήρεις*
ἀκρωτηριασάμενος ἕλκων κατηγάγετο εἰς τὸν Κερκυραίων λιμένα,
τῶν δὲ ἀνδρῶν συνέβη ἕκαστον τακτὸν ἀργύριον ἀποτῖσαι, πλὴν
Κρινίππου τοῦ ἄρχοντος· τοῦτον δ' ἐφύλαττεν, ὡς ἢ πραξόμενος
πάμπολλα χρήματα ἢ ὡς πωλήσων. κἀκεῖνος μὲν ὑπὸ λύπης
αὐθαιρέτῳ θανάτῳ ἀποθνήσκει, τοὺς δ' ἄλλους ὁ Ἰφικράτης
37 *ἀφῆκε, Κερκυραίους ἐγγυητὰς δεξάμενος τῶν χρημάτων. καὶ τοὺς*
μὲν ναύτας γεωργοῦντας τοῖς Κερκυραίοις τὸ πλεῖστον διέτρεφε,
τοὺς δὲ πελταστὰς καὶ τοὺς ἀπὸ τῶν νεῶν ὁπλίτας ἔχων διέβαινεν
εἰς τὴν Ἀκαρνανίαν· καὶ ἐκεῖ ταῖς μὲν φιλίαις πόλεσιν ἐπεκούρει,

---

Fällen besonders. — *προσέταξεν*] mit persönl. Obj. „bestimmen“. — *οὓς δεήσοι*] finaler Relativsatz mit Opt. Or. obl. — *ἐπεὶ κηρ.*] hypothet. Temporalsatz. — *ἀκολουθεῖν*] *ἑαυτῷ βοηθήσοντας.* — *προεῖπε*] *promittere,* d. i. „in Aussicht stellen“, konstruiert wie die Verba des Versprechens u. a. mit dem Infin. des Urteilssatzes neben der Negation des Begehrungssatzes. — *μέμψεσθαι*] iron. im Sinne von *contemnere.* — *ἐσημάνθησαν*] *ὑπὸ τῶν σκοπῶν.* — *ἐκηρύχθη*] sc. *ἀκολουθεῖν.* — *τῶν μελλόντων*] abh. von *οὐδεὶς ὅστις*; *μελλόντων* als Folge des *προσέταξεν.*

35. *αἱ πολέμιαι τριήρεις*] nicht die 10 syrakusischen, welche nachher *ἅπασαι* genommen wurden, sondern die (§ 26) nach Leukas geflüchteten lacedämonischen Schiffe, die sich den syrakusanischen wieder anschliefsen mufsten; letztere Notiz erwartete man § 33. — *Μελάνιππος ὁ Ῥόδιος*] ist § 13 unter den spartan. Kontingenten nicht erwähnt. — *συνεβούλευε*] im D. Plusqpf. nach Analogie von *νικάω, ἀκούω.* — *ἐξέπλει*] Tempus de conatu. — *αὐτοῖς*] „samt“.

36. *ἀκρωτηριασάμενος*] *ἀπάγων τὰ τῶν αἰχμαλώτων νεῶν ἀκρωτήρια,* vgl. II, 3, 8. — *ξυνέβη*] *ξυνέθετο αὐτοῖς.* — *τακτόν*] je nach Rang und Vermögen verschieden. — *πραξόμενος*] *δι' αὐτόν,* „eintreiben“.

37. *γεωργοῦντας*] kausal. — *τοῖς Κερκ.*] Dat. commodi zu *γεωργοῦντας.* — *διέβαινεν*] welches lokale Hin-

εἴ τίς τι δέοιτο, Θυριεῦσι δέ, μάλα καὶ ἀνδράσιν ἀλκίμοις καὶ
χωρίον καρτερὸν ἔχουσιν, ἐπολέμει. καὶ τὸ ἀπὸ Κερκύρας ναυτι- 38
κὸν προσλαβών, σχεδὸν περὶ ἐνενήκοντα ναῦς, πρῶτον μὲν εἰς Κε-
φαλληνίαν πλεύσας χρήματα ἐπράξατο, τὰ μὲν παρ' ἑκόντων, τὰ
δὲ παρ' ἀκόντων· ἔπειτα δὲ παρεσκευάζετο τήν τε τῶν Λακεδαι-
μονίων χώραν κακῶς ποιεῖν καὶ τῶν ἄλλων τῶν κατ' ἐκεῖνα πό-
λεων πολεμίων οὐσῶν τὰς μὲν ἐθελούσας προσλαμβάνειν, τοῖς δὲ
μὴ πειθομένοις πολεμεῖν.

Ἐγὼ μὲν δὴ ταύτην τὴν στρατηγίαν τῶν Ἰφικράτους οὐχ 39
ἥκιστα ἐπαινῶ, ἔπειτα καὶ τὸ προσελέσθαι κελεῦσαι ἑαυτῷ Καλ-
λίστρατόν τε τὸν δημηγόρον, οὐ μάλα ἐπιτήδειον ὄντα, καὶ Χα-
βρίαν, μάλα στρατηγὸν νομιζόμενον· εἴτε γὰρ φρονίμους αὐτοὺς
ἡγούμενος εἶναι συμβούλους λαβεῖν ἐβούλετο, σῶφρόν μοι δοκεῖ
διαπράξασθαι, εἴτε ἀντιπάλους νομίζων οὕτω θρασέως μήτε
καταρρᾳθυμῶν μήτε καταμελῶν μηδὲν φαίνεσθαι, μεγάλα φρο-
νοῦντος ἐφ' ἑαυτῷ τοῦτό μοι δοκεῖ ἀνδρὸς εἶναι. κἀκεῖνος μὲν δὴ
ταῦτ' ἔπραττεν.

Οἱ δὲ Ἀθηναῖοι ἐκπεπτωκότας μὲν ὁρῶντες* ἐκ τῆς Βοιω- 3
τίας Πλαταιέας, φίλους ὄντας, καὶ καταπεφευγότας πρὸς αὐτούς,

---

dernis? — *Θυριεῦσι*] Bew. v. Thyrion im N. von Akarnanien. — *μάλα*] emphat. vorangestellt gehört zu dem Adjektiv.

38. *κατ' ἐκεῖνα*] attributives Adverb, vgl. V, 1, 7.

39. *τῶν Ἰφ.*] *στρατηγιῶν*. — *τὸ πρ.*] verb. mit *κελεῦσαι*. — *οὐ μάλα … ὄντα*] konzessiv. — *ἐπιτήδειον*] nicht *χρήσιμον*, sondern *εὐμενῆ*, parallel mit *ἀντιπάλους*, wie *στρατηγόν* mit *φρονίμους*. — *στρατηγόν*] = *στρατηγικόν*, daher mit *μάλα*, kausal zu *προσελέσθαι* wie *τὸν δημηγόρον*. Beide konnten als *φρόνιμοι* doch auch *ἀντίπαλοι* sein und waren es in der That; über Kallistratos vgl. 3, 3. — *εἴτε … εἶναι*] Periode mit zwei Vordersätzen und zwei Nachsätzen. — *λαβεῖν*] *in bonam partem* „gewinnen". — *σῶφρον*] *τι*; beachte die Hypallage des Adj. wie in *triste lupus stabulis*. — *οὕτω*] epanaleptisch zu *νομίζων* „deshalb erst recht". — *θρασέως*] „selbstvertrauend", wie *μεγάλα φρονοῦντος* verb. mit *ἐβούλετο*, welches auch zu *φαίνεσθαι* gehört; dieses mutige Selbstvertrauen scheut nicht vor gegnerischen Kollegen zurück, die ihm auf den Dienst passen, sucht vielmehr deren Beifall zu verdienen.

Kap. 3. § 1/3: Friedenskongreſs in Sparta (371 v. Chr.). — § 4/6: Rede des Atheners Kallias. — § 7/9: Rede des Atheners Autokles. — § 10/17: Rede des Atheners Kallistratos. — § 18/20: Abschluſs des Friedens. Ausschluſs der Thebaner (371).

1. *Πλαταιέας*] Das 427 v. Chr. von Sparta zerstörte, 387 nach dem Frie-

τριηράρχων προσέταξεν εἴκοσιν, οὓς δεήσοι, ἐπεὶ κηρύξειεν, ἀκολουθεῖν· εἰ δέ τις μὴ ἀκολουθήσοι, προεῖπε μὴ μέμψεσθαι τὴν δίκην. ἐπεὶ δ' ἐσημάνθησαν προσπλέουσαι καὶ ἐκηρύχθη, ἀξία ἐγένετο θέας ἡ σπουδή· οὐδεὶς γὰρ ὅστις οὐ δρόμῳ τῶν μελλόντων
35 πλεῖν εἰσέβη εἰς τὰς ναῦς. πλεύσας δὲ ἔνθα ἦσαν αἱ πολέμιαι τριήρεις καταλαμβάνει ἀπὸ μὲν τῶν ἄλλων τριήρων εἰς τὴν γῆν τοὺς ἄνδρας ἐκβεβηκότας, Μελάνιππος μέντοι ὁ Ῥόδιος τοῖς τε ἄλλοις συνεβούλευε μὴ μένειν ἐνταῦθα καὶ αὐτὸς πληρωσάμενος τὴν ναῦν ἐξέπλει. ἐκεῖνος μὲν οὖν καίπερ ἀπαντῶν ταῖς Ἰφικράτους ναυσὶν ὅμως ἀπέφυγεν· αἱ δὲ ἀπὸ Συρακουσῶν νῆες ἅπασαι
36 ἑάλωσαν αὐτοῖς ἀνδράσιν. ὁ μέντοι Ἰφικράτης τὰς μὲν τριήρεις ἀκρωτηριασάμενος ἕλκων κατηγάγετο εἰς τὸν Κερκυραίων λιμένα, τῶν δὲ ἀνδρῶν συνέβη ἕκαστον τακτὸν ἀργύριον ἀποτῖσαι, πλὴν Κρινίππου τοῦ ἄρχοντος· τοῦτον δ' ἐφύλαττεν, ὡς ἢ πραξόμενος πάμπολλα χρήματα ἢ ὡς πωλήσων. κἀκεῖνος μὲν ὑπὸ λύπης αὐθαιρέτῳ θανάτῳ ἀποθνήσκει, τοὺς δ' ἄλλους ὁ Ἰφικράτης
37 ἀφῆκε, Κερκυραίους ἐγγυητὰς δεξάμενος τῶν χρημάτων. καὶ τοὺς μὲν ναύτας γεωργοῦντας τοῖς Κερκυραίοις τὸ πλεῖστον διέτρεφε, τοὺς δὲ πελταστὰς καὶ τοὺς ἀπὸ τῶν νεῶν ὁπλίτας ἔχων διέβαινεν εἰς τὴν Ἀκαρνανίαν· καὶ ἐκεῖ ταῖς μὲν φιλίαις πόλεσιν ἐπεκούρει,

---

Fällen besonders. — προσέταξεν] mit persönl. Obj. „bestimmen". — οὓς δεήσοι] finaler Relativsatz mit Opt. Or. obl. — ἐπεὶ κηρ.] hypothet. Temporalsatz. — ἀκολουθεῖν] ἑαυτῷ βοηθήσοντας. — προεῖπε] *promittere*, d. i. „in Aussicht stellen", konstruiert wie die Verba des Versprechens u. a. mit dem Infin. des Urteilssatzes neben der Negation des Begehrungssatzes. — μέμψεσθαι] iron. im Sinne von *contemnere*. — ἐσημάνθησαν] ὑπὸ τῶν σκοπῶν. — ἐκηρύχθη] sc. ἀκολουθεῖν. — τῶν μελλόντων] abh. von οὐδεὶς ὅστις; μελλόντων als Folge des προσέταξεν.

35. αἱ πολέμιαι τριήρεις] nicht die 10 syrakusischen, welche nachher ἅπασαι genommen wurden, sondern die (§ 26) nach Leukas geflüchteten lacedämonischen Schiffe, die sich den syrakusanischen wieder anschliefsen mufsten; letztere Notiz erwartete man § 33. — Μελάνιππος ὁ Ῥόδιος] ist § 13 unter den spartan. Kontingenten nicht erwähnt. — συνεβούλευε] im D. Plusqpf. nach Analogie von νικάω, ἀκούω. — ἐξέπλει] Tempus de conatu. — αὐτοῖς] „samt".

36. ἀκρωτηριασάμενος] ἀπάγων τὰ τῶν αἰχμαλώτων νεῶν ἀκρωτήρια, vgl. II, 3, 8. — ξυνέβη] ξυνέθετο αὐτοῖς. — τακτόν] je nach Rang und Vermögen verschieden. — πραξόμενος] δι' αὐτόν, „eintreiben".

37. γεωργοῦντας] kausal. — τοῖς Κερκ.] Dat. commodi zu γεωργοῦντας. — διέβαινεν] welches lokale Hin-

εἴ τίς τι δέοιτο, Θυριεῦσι δέ, μάλα καὶ ἀνδράσιν ἀλκίμοις καὶ χωρίον καρτερὸν ἔχουσιν, ἐπολέμει. καὶ τὸ ἀπὸ Κερκύρας ναυτι- 38
κὸν προσλαβών, σχεδὸν περὶ ἐνενήκοντα ναῦς, πρῶτον μὲν εἰς Κεφαλληνίαν πλεύσας χρήματα ἐπράξατο, τὰ μὲν παρ' ἑκόντων, τὰ δὲ παρ' ἀκόντων· ἔπειτα δὲ παρεσκευάζετο τήν τε τῶν Λακεδαιμονίων χώραν κακῶς ποιεῖν καὶ τῶν ἄλλων τῶν κατ' ἐκεῖνα πόλεων πολεμίων οὐσῶν τὰς μὲν ἐθελούσας προσλαμβάνειν, τοῖς δὲ μὴ πειθομένοις πολεμεῖν.

39 Ἐγὼ μὲν δὴ ταύτην τὴν στρατηγίαν τῶν Ἰφικράτους οὐχ ἥκιστα ἐπαινῶ, ἔπειτα καὶ τὸ προσελέσθαι κελεῦσαι ἑαυτῷ Καλλίστρατόν τε τὸν δημηγόρον, οὐ μάλα ἐπιτήδειον ὄντα, καὶ Χαβρίαν, μάλα στρατηγὸν νομιζόμενον· εἴτε γὰρ φρονίμους αὐτοὺς ἡγούμενος εἶναι συμβούλους λαβεῖν ἐβούλετο, σῶφρόν μοι δοκεῖ διαπράξασθαι, εἴτε ἀντιπάλους νομίζων οὕτω θρασέως μήτε καταρρᾳθυμῶν μήτε καταμελῶν μηδὲν φαίνεσθαι, μεγάλα φρονοῦντος ἐφ' ἑαυτῷ τοῦτό μοι δοκεῖ ἀνδρὸς εἶναι. κἀκεῖνος μὲν δὴ ταῦτ' ἔπραττεν.

3 Οἱ δὲ Ἀθηναῖοι ἐκπεπτωκότας μὲν ὁρῶντες* ἐκ τῆς Βοιωτίας Πλαταιέας, φίλους ὄντας, καὶ καταπεφευγότας πρὸς αὐτούς,

---

dernis? — Θυριεῦσι] Bew. v. Thyrion im N. von Akarnanien. — μάλα] emphat. vorangestellt gehört zu dem Adjektiv.

38. κατ' ἐκεῖνα] attributives Adverb, vgl. V, 1, 7.

39. τῶν Ἰφ.] στρατηγιῶν. — τὸ πρ.] verb. mit κελεῦσαι. — οὐ μάλα ... ὄντα] konzessiv. — ἐπιτήδειον] nicht χρήσιμον, sondern εὐμενῆ, parallel mit ἀντιπάλους, wie στρατηγόν mit φρονίμους. — στρατηγόν] = στρατηγικόν, daher mit μάλα, kausal zu προσελέσθαι wie τὸν δημηγόρον. Beide konnten als φρόνιμοι doch auch ἀντίπαλοι sein und waren es in der That; über Kallistratos vgl. 3, 3. — εἴτε ... εἶναι] Periode mit zwei Vordersätzen und zwei Nachsätzen. — λαβεῖν] *in bonam partem* „gewinnen". — σῶφρον] τι; beachte die Hypallage des Adj. wie in *triste lupus stabulis*. — οὕτω] epanaleptisch zu νομίζων „deshalb erst recht". — θρασέως] „selbstvertrauend", wie μεγάλα φρονοῦντος verb. mit ἐβούλετο, welches auch zu φαίνεσθαι gehört; dieses mutige Selbstvertrauen scheut nicht vor gegnerischen Kollegen zurück, die ihm auf den Dienst passen, sucht vielmehr deren Beifall zu verdienen.

Kap. 3. § 1/3: Friedenskongrefs in Sparta (371 v. Chr.). — § 4/6: Rede des Atheners Kallias. — § 7/9: Rede des Atheners Autokles. — § 10/17: Rede des Atheners Kallistratos. — § 18/20: Abschlufs des Friedens. Ausschlufs der Thebaner (371).

1. Πλαταιέας] Das 427 v. Chr. von Sparta zerstörte, 387 nach dem Frie-

ἱκετεύοντας δὲ Θεσπιέας μὴ σφᾶς περιιδεῖν ἀπόλιδας γενομένους, οὐκέτι ἐπῄνουν τοὺς Θηβαίους, ἀλλὰ πολεμεῖν μὲν αὐτοῖς τὰ μὲν ᾐσχύνοντο, τὰ δὲ ἀσυμφόρως ἔχειν ἐλογίζοντο κοινωνεῖν γε μὴν αὐτοῖς ὧν ἔπραττον οὐκέτι ἤθελον, ἐπεὶ ἑώρων στρατεύοντάς τε αὐτοὺς ἐπὶ φίλους ἀρχαίους τῇ πόλει Φωκέας καὶ πόλεις πιστάς τ' ἐν τῷ πρὸς τὸν βάρβαρον πολέμῳ καὶ φίλας ἑαυτοῖς
2 ἀφανίζοντας. ἐκ τούτων δὲ ψηφισάμενος ὁ δῆμος εἰρήνην ποιήσασθαι πρῶτον μὲν εἰς Θήβας πρέσβεις ἔπεμψε παρακαλοῦντας ἀκολουθεῖν, εἰ βούλοιντο, εἰς Λακεδαίμονα περὶ εἰρήνης· ἔπειτα δὲ ἐξέπεμψαν καὶ αὐτοὶ πρέσβεις. ἦν δὲ τῶν αἱρεθέντων Καλλίας Ἱππονίκου, Αὐτοκλῆς Στρομβιχίδου, Δημόστρατος Ἀριστοφῶντος,
3 Ἀριστοκλῆς, Κηφισόδοτος, Μελάνωπος, Λύκαιθος *). καὶ Καλλίστρατος δὲ ὁ δημηγόρος παρῆν· ὑποσχόμενος γὰρ Ἰφικράτει, εἰ αὐτὸν ἀφείη, ἢ χρήματα πέμψειν τῷ ναυτικῷ ἢ εἰρήνην ποιήσειν,

*) ἐπεὶ δὲ προσῆλθον ἐπὶ τοὺς ἐκκλήτους τε τῶν Λακεδαιμονίων καὶ τοὺς συμμάχους· störender Zusatz von späterer Hand.

---

den des Antalcidas wieder aufgebaute Platäa war 375 wieder unterworfen (vgl. V, 4, 63 περιοικίδας πόλεις) und 373 zerstört. Die Einwohner hatten wie 427 in Athen Schutz gefunden. — Θεσπιέας] Die St. Thespiä fand 375 resp. 373 ein ähnliches Los wie Platäa, vgl. V, 4, 46. 63. — ἐκπεπτωκότας ... καταπεφευγότας ... ἱκετεύοντας] prädikativ; wovon abhängig? — φίλους ὄντας] konzessive Apposition. — ἐπῄνουν] „zufrieden sein". — ἀλλά] Dieser Gegensatz zu οὐκέτι wird durch zwei parataktische τὰ μὲν ... τὰ δέ ... konzessiv beschränkt und unterbrochen, dann aber mit γε μήν wieder aufgenommen. Im D. „sondern ... wenn auch teils ... teils ... so doch wenigstens". — πολεμεῖν] gemeinsames Obj. zu ᾐσχύνοντο als Begehrungssatz und zu ἐλογίζοντο als Urteilssatz, parallel zu κοινωνεῖν. — τὰ μὲν ... τὰ δέ] nicht adversat. — ᾐσχύνοντο] mit Inf. Verb. cupiendi, mit Part. Verb. sentiendi; hier ist es dem folgenden Satze konform = αἰσχρῶς ἔχειν ἐλογίζοντο. — οὐκέτι ἤθελον] „aufgeben". — ἐπεὶ ἑώρων] kausal zu οὐκέτι ἤθελον, während oben ὁρῶντες kausal zu dem allgemeineren οὐκέτι ἐπῄνουν steht. — φίλους ἀρχαίους] aber nicht immer, vgl. III, 5, 3; IV, 3, 15; VI, 1, 1. — τῇ πόλει] verb. mit φίλους. — πόλεις πιστάς ... φίλας] Objekt wovon abhängig? — ἐν τῷ πρὸς βάρβαρον πολέμῳ] bei Marathon, Thermopylä und Platäa, während Theben es damals mit den Persern hielt.

2. εἰρήνην ποιήσασθαι] vgl. 2, 1. — παρακαλοῦντας] Part. de conatu mit finalem Sinne. — καὶ αὐτοί] sc. εἰς Λακεδαίμονα; als Gegensatz ist augenscheinlich anzunehmen οἱ Θηβαῖοι ἠκολούθουν κτλ.

3. καὶ ... δέ] vgl. 1, 10. — Καλλίστρατος] vgl. 2, 39. — εἰ ... ἀφείη] τῆς στρατηγίας, Opt. Orat. obl.; zur Sache vgl. 2, 39. — χρήματα πέμψειν]

οὕτως Ἀθήνησί τε ἦν καὶ ἔπραττε περὶ εἰρήνης· ἐπεὶ δὲ κατέστησαν ἐπὶ τοὺς ἐκκλήτους τε τῶν Λακεδαιμονίων καὶ τοὺς συμμάχους, πρῶτος ἔλεξεν αὐτῶν Καλλίας ὁ δᾳδοῦχος. ἦν δ' οὗτος οἷος μηδὲν ἧττον ἥδεσθαι ὑφ' αὑτοῦ ἢ ὑπ' ἄλλων ἐπαινούμενος· καὶ τότε δὴ ἤρξατο ὧδέ πως·

Ὦ ἄνδρες Λακεδαιμόνιοι, τὴν μὲν προξενίαν ὑμῶν οὐκ ἐγὼ 4
μόνος, ἀλλὰ καὶ πατρὸς πατὴρ πατρῴαν ἔχων παρεδίδου τῷ γένει. βούλομαι δὲ καὶ τοῦτο ὑμῖν δηλῶσαι, ὡς ἔχουσα ἡ πόλις διατελεῖ πρὸς ἡμᾶς. ἐκείνη γάρ, ὅταν μὲν πόλεμος ᾖ, στρατηγοὺς ἡμᾶς αἱρεῖται, ὅταν δὲ ἡσυχίας ἐπιθυμήσῃ, εἰρηνοποιοὺς ἡμᾶς ἐκπέμπει. κἀγὼ πρόσθεν δὶς ἤδη ἦλθον περὶ πολέμου καταλύσεως καὶ ἐν ἀμφοτέραις ταῖς πρεσβείαις διεπραξάμην καὶ ὑμῖν καὶ ἡμῖν εἰρήνην· νῦν δὲ τρίτον ἥκω καὶ ἡγοῦμαι πολὺ δικαιότατα νῦν ἂν διαλλαγῆς τυχεῖν. ὁρῶ γὰρ οὐκ ἄλλα μὲν ὑμῖν, ἄλλα δὲ 5
ἡμῖν δοκοῦντα, ἀλλ' ὑμᾶς τε ἀχθομένους καὶ ἡμᾶς τῇ Πλαταιῶν καὶ Θεσπιῶν ἀναιρέσει. πῶς οὖν οὐκ εἰκὸς τὰ αὐτὰ γιγνώσκοντας φίλους μᾶλλον ἀλλήλοις ἢ πολεμίους εἶναι; καὶ σωφρόνων μὲν δήπου ἐστὶ μηδὲ εἰ μικρὰ τὰ διαφέροντα εἴη πόλεμον ἀναιρεῖ-

---

die Geldnot des Iphikrates ist indirekt aus 2, 37 zu schliefsen. — *οὕτως*] epanaleptisch, *ita accidit ut.* — *ἦν ... ἔπραττε*] Vorvergangenheit mit durativem Sinn; ergänze dabei als Motiv *χρήματα πέμπειν οὐκ ἔχων.* — *ἐκκλήτους*] = *ἐκκλησίαν.* — *δᾳδοῦχος*] der fackeltragende Priester der Demeter bei den eleusin. Mysterien, erbliches Ehrenamt. — *οἷος*] m. Inf. üblich statt *οἷόςτε* „qualifiziert, so geartet dafs" = *τοιοῦτος ὥστε.* — *ἥδεσθαι*] „gern hören". — *ὑφ' ἑαυτοῦ ἐπαινούμενος*] im D. aktive Wendung; diese Charakteristik wird durch die Rede selbst bestätigt.

4. *προξενίαν*] vgl. V, 4, 22. — *ἐγὼ μόνος*] *ἔχω.* — *πατρὸς πατὴρ πατρῴαν*] Paronomasie, hier selbstgefällige Wortmalerei. — *ἀλλὰ καί*] „sondern schon". — *ὡς ἔχουσα*] Relativ statt der Fragepartikel *πῶς* resp. *ὅπως*, vgl. 1, 8; *ἔχειν* mit Adverb, welche Bedeutung? — *ἡ πόλις*] *ἡ ἡμετέρα.* — *στρατηγούς*] zur Sache vgl. IV, 5, 13. — *κἀγώ*] *καί* konsekutiv = *ὥστε.* — *δίς*] wahrscheinlich 387 vgl. V, 1, 32 und 374 VI, 2, 1. — *διεπραξάμην*] vgl. § 2. — *ὑμῖν ... ἡμῖν*] Dat. des Interesses. — *ἂν τυχεῖν*] sc. *ἐὰν ὁ θεὸς ἐθέλῃ.*

5. *ἄλλα μὲν ... ἄλλα δέ*] = *ἄλλα ἢ* = *διάφορα.* — *ὑμᾶς τε ... καὶ ἡμᾶς*] im D. subord. „so gut wie". — *ἀναιρέσει*] vgl. § 1. — *πῶς οὐ*] rhetor., vgl. V, 2, 15. — *εἰκός*] Verb. cupiendi hier. — *γιγνώσκοντας*] sc. *ἀνθρώπους.* — *μηδ' εἰ*] ***ne tum quidem si.*** Die Negation gehört zum Infin., anders bei *εἰ μηδέ*, vgl. 2, 27. — *τὰ διαφέροντα*] „d. Differenzen"; dazu *μικρά.*

σθαι· εἰ δὲ δὴ καὶ ὁμογνωμονοῖεν, οὐκ ἂν πάνυ τῶν θαυμαστῶν
6 εἴη μὴ εἰρήνην ποιεῖσθαι; δίκαιον μὲν οὖν ἦν μηδὲ ὅπλα ἐπιφέρειν ἀλλήλοις ἡμᾶς, ἐπεὶ λέγεται μὲν Τριπτόλεμος ὁ ἡμέτερος πρόγονος τὰ Δήμητρος καὶ Κόρης ἄρρητα ἱερὰ πρώτοις ξένοις δεῖξαι Ἡρακλεῖ τε τῷ ὑμετέρῳ ἀρχηγέτῃ καὶ Διοσκόροιν τοῖν ὑμετέροιν πολίταιν καὶ τοῦ Δήμητρος δὲ καρποῦ εἰς πρώτην τὴν Πελοπόννησον σπέρμα δωρήσασθαι. πῶς οὖν δίκαιον ἢ ὑμᾶς, παρ' ὧν ἐλάβετε σπέρματα, τὸν τούτων ποτὲ καρπὸν ἐλθεῖν δῃώσοντας, ἡμᾶς τε, οἷς ἐδώκαμεν, μὴ οὐχὶ βούλεσθαι ὡς πλείστην τούτοις ἀφθονίαν τροφῆς γενέσθαι; εἰ δὲ ἄρα ἐκ θεῶν πεπρωμένον ἐστὶ πολέμους ἐν ἀνθρώποις γίγνεσθαι, ἡμᾶς δὲ χρὴ ἄρχεσθαι μὲν αὐτοῦ ὡς σχολαίτατα, ὅταν δὲ γένηται, καταλύεσθαι ᾗ δυνατὸν τάχιστα.

7 Μετὰ τοῦτον Αὐτοκλῆς, μάλα δοκῶν ἐπιστρεφὴς εἶναι ῥήτωρ, ὧδε ἠγόρευεν· Ἄνδρες Λακεδαιμόνιοι, ὅτι μὲν ἃ μέλλω λέγειν οὐ πρὸς χάριν ὑμῖν ῥηθήσεται, οὐκ ἀγνοῶ· ἀλλὰ δοκεῖ μοι, οἵτινες βούλονται, ἣν ἂν ποιήσωνται φιλίαν, ταύτην ὡς πλεῖστον χρόνον

---

prädik. — *εἰ ... καὶ ὁμογνωμονοῖεν*] sc. *οἱ σώφρονες*; ideal möglicher Fall dem von *πῶς οὖν* an beginnenden allgemeinen Erfahrungssatz entsprechend. — *οὐκ ἄν*] *nonne*. — *τῶν θαυμαστῶν*] Gen. partit.; erg. *πραγμάτων τι*.

6. *οὖν*] *igitur*. — *μηδέ*] „überhaupt nicht einmal", Gegens. *ὅπλα ἐπιφέρειν* zu dem stärkeren *μὴ εἰρήνην ποιεῖσθαι*. — *Τριπτόλεμος*] Herrscher von Eleusis, empfing die Weihe von Demeter, übertrug sie aber dann auf den Stammheros vom Peloponnes und führte daselbst aus Attika den Ackerbau ein. — *πρώτοις ξένοις*] ohne Artikel, also prädikativ. — *ἀρχηγέτῃ*] Stammvater. — *Διοσκόροιν*] vor der Welt als Söhne des Königs Tyndareus von Sparta geltend, daher *πολίταιν*, *fratres Helenae*. — *πῶς οὖν*] vgl. 2, 15. — *ὧν*] korresp. mit *τούτων*. — *ποτέ*] Attrakt. des zum Prädikat *δῃώσοντας ἐλθεῖν* gehörigen Adverbs als Attribut zu *καρπόν*, „die nachmalige Frucht des einst empfangenen Samens". — *ἡμᾶς τε*] leichtes Anakoluth statt *ἢ ἡμᾶς* „oder anderseits". — *οἷς*] korresp. mit *τούτοις*. — *μὴ οὐχί*] vgl. V, 2, 36. — *ἄρα*] *igitur*, gehört dem Sinne nach zum Nachsatz. — *ἡμᾶς δέ*] Die koordinirende Partikel *δέ* findet sich zuweilen im Nachsatz, dann aber gewöhnlich nur im Anschlufs an ein Pronomen, mit dem sie fast verschmilzt, wie z. B. *ὅδε*, *τοιόσδε*; man hat vorher einen elliptischen Nachsatz wie hier etwa *εἶεν* zu ergänzen, dem sich dann *ἡμᾶς δέ* koordiniert, vgl. zu 1, 13. — *καταλύεσθαι*] *αὐτόν*, Med. des Interesses.

7. *ἐπιστρεφής*] vgl. *animadvertere* aufmerken; daher „streng sachgemäfs", im Gegensatz zu der subjekt. Schönfärberei des Vorredners. — *ὅτι μέν*] Gegens. *ἀλλά*. — *οἵτινες*] erg. *τούτοις*

διαμένειν, διδακτέον εἶναι ἀλλήλους τὰ αἴτια τῶν πολέμων. ὑμεῖς δὲ ἀεὶ μὲν φατέ πως· αὐτονόμους τὰς πόλεις χρὴ εἶναι, αὐτοὶ δ' ἐστὲ μάλιστα ἐμποδὼν τῇ αὐτονομίᾳ. συντίθεσθε μὲν γὰρ πρὸς τὰς συμμαχίδας πόλεις τοῦτο πρῶτον, ἀκολουθεῖν ὅποι ἂν ὑμεῖς ἡγῆσθε. καίτοι τί τοῦτο αὐτονομίᾳ προσήκει; ποιεῖσθε δὲ 8 πολεμίους οὐκ ἀνακοινούμενοι τοῖς συμμάχοις καὶ ἐπὶ τούτους ἡγεῖσθε· ὥστε πολλάκις ἐπὶ τοὺς εὐμενεστάτους ἀναγκάζονται στρατεύειν οἱ λεγόμενοι αὐτόνομοι εἶναι. ἔτι δὲ τὸ πάντων ἐναντιώτατον αὐτονομίᾳ, καθίστατε ἔνθα μὲν δεκαρχίας, ἔνθα δὲ τριακονταρχίας· καὶ τούτων τῶν ἀρχόντων ἐπιμελεῖσθε οὐχ ὅπως νομίμως ἄρχωσιν, ἀλλ' ὅπως δύνωνται βίᾳ κατέχειν τὰς πόλεις. ὥστ' ἐοίκατε τυραννίσι μᾶλλον ἢ πολιτείαις ἡδόμενοι. καὶ ὅτε 9 μὲν βασιλεὺς προσέταττεν αὐτονόμους τὰς πόλεις εἶναι, μάλα γιγνώσκοντες ἐφαίνεσθε, ὅτι, εἰ μὴ ἐάσοιεν οἱ Θηβαῖοι ἑκάστην τῶν πόλεων ἄρχειν τε ἑαυτῆς καὶ οἷς ἂν βούληται νόμοις χρῆσθαι, οὐ ποιήσουσι κατὰ τὰ βασιλέως γράμματα· ἐπεὶ δὲ παρελάβετε

---

zu *διδακτέον*. — *ἀλλήλους*] die Reciproka involvieren Subjekt und Objekt *οἱ ἕτεροι τοὺς ἑτέρους*. — *πως*] *quodammodo*, verb. mit *ἀεί*, „fast immer“. — *ἀκολουθεῖν*] *αὐτάς*; die vollständige Formel für ein Abhängigkeitsverhältnis II, 2, 20; V, 3, 26. — *τί*] „inwiefern“. — *προσήκει*] „ist vereinbar“.

8. *ποιεῖσθε πολεμίους*] wie z. B. Mantinea V, 2, 1; Theben V, 2, 35; Phlius V, 3, 13; Athen V, 4, 20. — *ἀνακοινούμενοι*] *communicare* = *συμβουλεύεσθαι*. — *τούτους*] *πολεμίους*. — *ἡγεῖσθε*] *τῶν συμμάχων*. — *εὐμενεστάτους*] im D. zwei Worte. — *ἐναντιώτατον*] Apposition zum folg. Satze, analog *μέγιστον δέ* durch einen Relativsatz zu geben. — *καθίστατε*] verallgemeinerndes Präsens wie *ἐπιμελεῖσθε*; verallgemeinernd wirkt auch der hyperbolische Plural *τριακονταρχίας*. — *δεκαρχίας*] die von Lysander eingesetzten oligarchischen Behörden, vgl. II, 2, 5; 3, 7; 4, 19. 38; III, 5, 13. — *τριακονταρχίας*] Gemeint ist zunächst nur die Behörde der Dreifsig d. J. 404, die nach ihrem Ursprung und Wesen sich als eine durch Kompromifs von drei Parteien gebildete Zusammensetzung aus drei Dekarchieen darstellt; vgl. Lysias XII, 76. — *τούτων τ. ἀ.*] prolept. Attrakt. — *δύνωνται κατέχειν*] stärker als *κατέχωσι*; „in der Lage sein“. — *πολιτείαις*] „freie Bürgerverfassungen“, Gegens. *τυραννίσι*.

9. *ὅτε ... προσέταττεν*] durativ; zur Sache vgl. V, 1, 31, wo der Friede des Antalcidas sich mehr als *προστάγματα ἀλλ' οὐ συνθῆκαι* erweist. — *μάλα*] *εὖ*, *recte*. — *τῶν πόλεων*] des böot. Bundes. — *ἄρχειν*] „regieren“, nicht tautologisch mit *νόμοις χρῆσθαι*. — *κατά*] *secundum*. — *γράμματα*] *προστάγματα*. — *παρελάβετε*] „in die Hände bekommen“, nicht blofs durch Gewalt (*καταλαμβάνειν*), sondern auch durch

σθαι· εἰ δὲ δὴ καὶ ὁμογνωμονοῖεν, οὐκ ἂν πάνυ τῶν θαυμαστῶν
6 εἴη μὴ εἰρήνην ποιεῖσθαι; δίκαιον μὲν οὖν ἦν μηδὲ ὅπλα ἐπιφέρειν ἀλλήλοις ἡμᾶς, ἐπεὶ λέγεται μὲν Τριπτόλεμος ὁ ἡμέτερος πρόγονος τὰ Δήμητρος καὶ Κόρης ἄρρητα ἱερὰ πρώτοις ξένοις δεῖξαι Ἡρακλεῖ τε τῷ ὑμετέρῳ ἀρχηγέτῃ καὶ Διοσκόροιν τοῖν ὑμετέροιν πολίταιν καὶ τοῦ Δήμητρος δὲ καρποῦ εἰς πρώτην τὴν Πελοπόννησον σπέρμα δωρήσασθαι. πῶς οὖν δίκαιον ἢ ὑμᾶς, παρ᾽ ὧν ἐλάβετε σπέρματα, τὸν τούτων ποτὲ καρπὸν ἐλθεῖν δῃώσοντας, ἡμᾶς τε, οἷς ἐδώκαμεν, μὴ οὐχὶ βούλεσθαι ὡς πλείστην τούτοις ἀφθονίαν τροφῆς γενέσθαι; εἰ δὲ ἄρα ἐκ θεῶν πεπρωμένον ἐστὶ πολέμους ἐν ἀνθρώποις γίγνεσθαι, ἡμᾶς δὲ χρὴ ἄρχεσθαι μὲν αὐτοῦ ὡς σχολαίτατα, ὅταν δὲ γένηται, καταλύεσθαι ᾗ δυνατὸν τάχιστα.

7 Μετὰ τοῦτον Αὐτοκλῆς, μάλα δοκῶν ἐπιστρεφὴς εἶναι ῥήτωρ, ὧδε ἠγόρευεν· Ἄνδρες Λακεδαιμόνιοι, ὅτι μὲν ἃ μέλλω λέγειν οὐ πρὸς χάριν ὑμῖν ῥηθήσεται, οὐκ ἀγνοῶ· ἀλλὰ δοκεῖ μοι, οἵτινες βούλονται, ἣν ἂν ποιήσωνται φιλίαν, ταύτην ὡς πλεῖστον χρόνον

---

prädik. — εἰ ... καὶ ὁμογνωμονοῖεν] sc. οἱ σώφρονες; ideal möglicher Fall dem von πῶς οὖν an beginnenden allgemeinen Erfahrungssatz entsprechend. — οὐκ ἄν] *nonne*. — τῶν θαυμαστῶν] Gen. partit.; erg. πραγμάτων τι.

6. οὖν] *igitur*. — μηδέ] „überhaupt nicht einmal", Gegens. ὅπλα ἐπιφέρειν zu dem stärkeren μὴ εἰρήνην ποιεῖσθαι. — Τριπτόλεμος] Herrscher von Eleusis, empfing die Weihe von Demeter, übertrug sie aber dann auf den Stammheros vom Peloponnes und führte daselbst aus Attika den Ackerbau ein. — πρώτοις ξένοις] ohne Artikel, also prädikativ. — ἀρχηγέτῃ] Stammvater. — Διοσκόροιν] vor der Welt als Söhne des Königs Tyndareus von Sparta geltend, daher πολίταιν, *fratres Helenae*. — πῶς οὖν] vgl. 2, 15. — ὧν] korresp. mit τούτων. — ποτέ] Attrakt. des zum Prädikat δῃώσοντας ἐλθεῖν gehörigen Adverbs als Attribut zu καρπόν, „die nachmalige Frucht des einst empfangenen Samens". — ἡμᾶς τε] leichtes Anakoluth statt ἢ ἡμᾶς „oder anderseits". — οἷς] korresp. mit τούτοις. — μὴ οὐχί] vgl. V, 2, 36. — ἄρα] *igitur*, gehört dem Sinne nach zum Nachsatz. — ἡμᾶς δέ] Die koordinirende Partikel δέ findet sich zuweilen im Nachsatz, dann aber gewöhnlich nur im Anschlufs an ein Pronomen, mit dem sie fast verschmilzt, wie z. B. ὅδε, τοιόσδε; man hat vorher einen elliptischen Nachsatz wie hier etwa εἶεν zu ergänzen, dem sich dann ἡμᾶς δέ koordiniert, vgl. zu 1, 13. — καταλύεσθαι] αὐτόν, Med. des Interesses.

7. ἐπιστρεφής] vgl. *animadvertere* aufmerken; daher „streng sachgemäfs", im Gegensatz zu der subjekt. Schönfärberei des Vorredners. — ὅτι μέν] Gegens. ἀλλά. — οἵτινες] erg. τούτοις

διαμένειν, διδακτέον εἶναι ἀλλήλους τὰ αἴτια τῶν πολέμων. ὑμεῖς δὲ ἀεὶ μέν φατέ πως· αὐτονόμους τὰς πόλεις χρὴ εἶναι, αὐτοὶ δ᾽ ἐστὲ μάλιστα ἐμποδὼν τῇ αὐτονομίᾳ. συντίθεσθε μὲν γὰρ πρὸς τὰς συμμαχίδας πόλεις τοῦτο πρῶτον, ἀκολουθεῖν ὅποι ἂν ὑμεῖς ἡγῆσθε. καίτοι τί τοῦτο αὐτονομίᾳ προσήκει; ποιεῖσθε δὲ 8 πολεμίους οὐκ ἀνακοινούμενοι τοῖς συμμάχοις καὶ ἐπὶ τούτους ἡγεῖσθε· ὥστε πολλάκις ἐπὶ τοὺς εὐμενεστάτους ἀναγκάζονται στρατεύειν οἱ λεγόμενοι αὐτόνομοι εἶναι. ἔτι δὲ τὸ πάντων ἐναντιώτατον αὐτονομίᾳ, καθίστατε ἔνθα μὲν δεκαρχίας, ἔνθα δὲ τριακονταρχίας· καὶ τούτων τῶν ἀρχόντων ἐπιμελεῖσθε οὐχ ὅπως νομίμως ἄρχωσιν, ἀλλ᾽ ὅπως δύνωνται βίᾳ κατέχειν τὰς πόλεις. ὥστ᾽ ἐοίκατε τυραννίσι μᾶλλον ἢ πολιτείαις ἡδόμενοι. καὶ ὅτε 9 μὲν βασιλεὺς προσέταττεν αὐτονόμους τὰς πόλεις εἶναι, μάλα γιγνώσκοντες ἐφαίνεσθε, ὅτι, εἰ μὴ ἐάσοιεν οἱ Θηβαῖοι ἑκάστην τῶν πόλεων ἄρχειν τε ἑαυτῆς καὶ οἷς ἂν βούληται νόμοις χρῆσθαι, οὐ ποιήσουσι κατὰ τὰ βασιλέως γράμματα· ἐπεὶ δὲ παρελάβετε

---

zu διδακτέον. — ἀλλήλους] die Reciproka involvieren Subjekt und Objekt *οἱ ἕτεροι τοὺς ἑτέρους*. — πως] *quodammodo*, verb. mit *ἀεί*, „fast immer". — ἀκολουθεῖν] *αὐτάς*; die vollständige Formel für ein Abhängigkeitsverhältnis II, 2, 20; V, 3, 26. — τί] „inwiefern". — προσήκει] „ist vereinbar".

8. ποιεῖσθε πολεμίους] wie z. B. Mantinea V, 2, 1; Theben V, 2, 35; Phlius V, 3, 13; Athen V, 4, 20. — ἀνακοινούμενοι] *communicare* = *συμβουλεύεσθαι*. — τούτους] *πολεμίους*. — ἡγεῖσθε] *τῶν συμμάχων*. — εὐμενεστάτους] im D. zwei Worte. — ἐναντιώτατον] Apposition zum folg. Satze, analog *μέγιστον δέ* durch einen Relativsatz zu geben. — καθίστατε] verallgemeinerndes Präsens wie *ἐπιμελεῖσθε*; verallgemeinernd wirkt auch der hyperbolische Plural *τριακονταρχίας*. — δεκαρχίας] die von Lysander eingesetzten oligarchischen Behörden, vgl. II, 2, 5; 3, 7; 4, 19. 38; III, 5, 13. — τριακονταρχίας] Gemeint ist zunächst nur die Behörde der Dreifsig d. J. 404, die nach ihrem Ursprung und Wesen sich als eine durch Kompromifs von drei Parteien gebildete Zusammensetzung aus drei Dekarchieen darstellt; vgl. Lysias XII, 76. — τούτων τ. ἀ.] prolept. Attrakt. — δύνωνται κατέχειν] stärker als *κατέχωσι*; „in der Lage sein". — πολιτείαις] „freie Bürgerverfassungen", Gegens. *τυραννίσι*.

9. ὅτε ... προσέταττεν] durativ; zur Sache vgl. V, 1, 31, wo der Friede des Antalcidas sich mehr als *προστάγματα ἀλλ᾽ οὐ συνθῆκαι* erweist. — μάλα] *εὖ*, *recte*. — τῶν πόλεων] des böot. Bundes. — ἄρχειν] „regieren", nicht tautologisch mit *νόμοις χρῆσθαι*. — κατά] *secundum*. — γράμματα] *προστάγματα*. — παρελάβετε] „in die Hände bekommen", nicht blofs durch Gewalt (*καταλαμβάνειν*), sondern auch durch

τὴν Καδμείαν, οὐδ᾽ αὐτοῖς Θηβαίοις ἐπετρέπετε αὐτονόμους εἶναι. δεῖ δὲ τοὺς μέλλοντας φίλους ἔσεσθαι οὐ παρὰ τῶν ἄλλων μὲν ἀξιοῦν τῶν δικαίων τυγχάνειν, αὐτοὺς δὲ ὅπως ἂν πλεῖστα δύνωνται πλεονεκτοῦντας φαίνεσθαι.

10 Ταῦτα εἰπὼν σιωπὴν μὲν παρὰ πάντων ἐποίησεν, ἡδομένους δὲ τοὺς ἀχθομένους τοῖς Λακεδαιμονίοις ἐποίησεν. μετὰ τοῦτον Καλλίστρατος ἔλεξεν· Ἀλλ᾽ ὅπως μέν, ὦ ἄνδρες Λακεδαιμόνιοι, οὐκ ἐγγεγένηται ἁμαρτήματα καὶ ἀφ᾽ ἡμῶν καὶ ἀφ᾽ ὑμῶν, ἐγὼ μὲν οὐκ ἂν ἔχειν μοι δοκῶ εἰπεῖν· οὐ μέντοι οὕτω γιγνώσκω, ὡς τοῖς ἁμαρτάνουσιν οὐδέποτε ἔτι χρηστέον· ὁρῶ γὰρ τῶν ἀνθρώπων οὐδένα ἀναμάρτητον διατελοῦντα· δοκοῦσι δέ μοι καὶ εὐπορώτεροι ἐνίοτε γίγνεσθαι ἄνθρωποι ἁμαρτάνοντες, ἄλλως τε καὶ ἐὰν κολασθῶσιν
11 ὑπὸ τῶν ἁμαρτημάτων, ὡς ἡμεῖς. καὶ ὑμῖν δὲ ἔγωγε ὁρῶ διὰ τὰ ἀγνωμόνως πραχθέντα ἔστιν ὅτε πολλὰ ἀντίτυπα γιγνόμενα· ὧν ἦν καὶ ἡ καταληφθεῖσα ἐν Θήβαις Καδμεία· νῦν γοῦν, ὧν ἐσπου-

---

Verrat u. dgl. — *οὐδ᾽ αὐτοῖς*] *ne ipsis quidem,* urgiert den konzessiven Gegensatz: obwohl ihr doch ihnen selbst die Autonomie der böot. Städte zur Pflicht machtet. — *οὐ*] negiert zugleich die beiden folgenden Infinitivsätze *ἀξιοῦν ... φαίνεσθαι*, gehört übrigens postpositiv zu *δεῖ*; *οὐ δεῖ* = *οὐκ ἔξεστιν* vgl. V, 3, 7; der erste parataktische Infinitivsatz ist im D. unterzuordnen „während doch". Von *ἀξιοῦν* hängt *τυγχάνειν* ab, von letzterem *παρὰ τ. ἀ. τ. δ.* — *αὐτούς*] *ipsos.* — *ὅπως ἂν*] hypothet. Relativsatz. — *πλεονεκτοῦντας*] Gegens. zu *τῶν δικαίων*.

10. *εἰπών*] Part. explicat. — *παρὰ πάντων*] attributiv mit *σιωπήν* zu verbinden. — *ἐποίησεν*] zweimal in verschiedener Bedeutung. — *ἀλλ᾽*] „nun freilich"; einleitende Partikel für Einwände, Aufforderungen, Fragen und Antworten. — *ὅπως*] indir. Frage nach *εἰπεῖν* „inwiefern", geht nach negativem Verb. regens oft in die Bedeutung von *ὅτι* über. — *ἀφ᾽*] vonseiten. — *ὡς χρηστέον*] sc. *ὄν*, Accus. absolut. bei Verb. impers.; das kausale Partizip vertritt bisweilen den Aussagesatz *ὡς* mit Indik., vgl. V, 1, 25. — *ἀναμάρτητον*] Verbaladjektiv mit aktiver Bedeutung wie *μενετός, δυνατός, ἄπρακτος* u. a., bei *διατελεῖν* als Partizip fungierend. — *καὶ εὐπορώτεροι*] *vel commodiores* = *prudentiores.*

11. *ἀγνωμόνως*] schonender Euphemismus für *ἀδίκως*. — *ἔστιν ὅτε πολλά*] ersteres die Zeit *ἐνίοτε*, letzteres die Zahl der Widerwärtigkeiten bezeichnend. — *ὧν*] bezieht sich auf *τὰ ... πραχθέντα*; vgl. *καταληφθεῖσα*. — *νῦν γοῦν*] hiermit beginnt die Darstellung der *ἀντίτυπα*; der Gedanke ist: Ihr Lacedämonier habt selbst die Früchte eurer Inkonsequenz geerntet; denn seit der Vergewaltigung Thebens durch euch sind jene Mächte, deren Städte ihr für autonom erklärtet, eurem Beispiele folgend, wieder in den Besitz aller Städte gelangt. — *ὧν*] sc. *ἀρχόντων* korrespond. mit *ἐπ᾽ ἐκείνοις*, worunter

δάσατε αὐτονόμους τὰς πόλεις γενέσθαι, πᾶσαι πάλιν, ἐπεὶ ἠδι-
κήθησαν οἱ Θηβαῖοι, ἐπ' ἐκείνοις γεγένηνται. ὥστε πεπαιδευ-
μένους ἡμᾶς, ὡς τὸ πλεονεκτεῖν ἀκερδές ἐστι, νῦν ἐλπίζω πάλιν
μετρίους ἐν τῇ πρὸς ἀλλήλους φιλίᾳ ἔσεσθαι. ἃ δὲ βουλόμενοί 12
τινες ἀποτρέπειν τὴν εἰρήνην διαβάλλουσιν, ὡς ἡμεῖς οὐ φιλίας
δεόμενοι, ἀλλὰ φοβούμενοι, μὴ Ἀνταλκίδας ἔλθῃ ἔχων παρὰ βασι-
λέως χρήματα, διὰ τοῦθ' ἥκομεν, ἐνθυμήθητε, ὡς φλυαροῦσιν·
βασιλεὺς μὲν γὰρ δήπου ἔγραψε πάσας τὰς ἐν τῇ Ἑλλάδι πόλεις
αὐτονόμους εἶναι· ἡμεῖς δὲ ταὐτὰ ἐκείνῳ λέγοντές τε καὶ πράτ-
τοντες τί ἂν φοβοίμεθα βασιλέα; ἢ τοῦτο οἴεταί τις, ὡς ἐκεῖνος
βούλεται χρήματα ἀναλώσας ἄλλους μεγάλους ποιῆσαι μᾶλλον ἢ
ἄνευ δαπάνης ἃ ἔγνω ἄριστα εἶναι, ταῦτα ἑαυτῷ πεπρᾶχθαι;
εἶεν. τί μὴν ἥκομεν; ὅτι μὲν οὖν οὐκ ἀποροῦντες, γνοίητε ἄν, εἰ 13
μὲν βούλεσθε, πρὸς τὰ κατὰ θάλατταν ἰδόντες, εἰ δὲ βούλεσθε,
πρὸς τὰ κατὰ γῆν ἐν τῷ παρόντι. τί μὴν ἐστιν; εὔδηλον, ὅτι, εἰ
τῶν συμμάχων τινὲς οὐκ ἀρεστὰ πράττουσιν ἡμῖν, οὐδ' ὑμῖν

---

also nicht bloſs *οἱ Θηβαῖοι*, sondern auch andere Mächte zu verstehen sind. Die emphatische Voranstellung des Relativs wie § 7. — *ἐσπουδάσατε*] zur Sache vgl. § 7. 8. — *πᾶσαι*] *αἱ πόλεις*. — *ἠδικήθησαν*] *ὑφ' ὑμῶν*. — *πεπαιδευμένους*] durch Thatsachen, vgl. § 10. — *ἀκερδές*] „Unrecht Gut gedeihet nicht“. — *ἡμᾶς*] = *ἡμᾶς καὶ ὑμᾶς* schonend für *ὑμᾶς*.

12. *ἃ*] entspricht einem in *ὡς φλυαροῦσι* liegenden *ταῦτα*. — *ἀποτρέπειν*] „hintertreiben“. — *ὡς* ... *ἥκομεν*] epexeg. zu *ἅ*; über *ὡς* vgl. V, 2, 35. — *Ἀνταλκίδας ἔλθῃ παρὰ β.*] Die erneute Absendung des A. war bisher nicht erwähnt. — *διὰ τοῦθ'*] vgl. V, 1; 29. — *ἔγραψε*] bei der ersten Friedensvermittelung 387 v. Chr. (vgl. V, 1, 30; VI, 3, 9), Verb. imperandi. — *ταὐτά*] konstruiert wie *ἴσος, ὅμοιος*. — *λέγοντες*] Thatsache. — *ὡς βούλεται*] epexegetisch zu *τοῦτο* sc. *ἀποφαίνεσθαι*, also nicht von *οἴεται* abhängig. — *βούλεται μᾶλλον*] *malle*. — *ἀναλώσας*] Part. explicat. — *ταῦτα* ... *πεπρᾶχθαι*] ebenfalls von *βούλεται* abhängig, aber in die passive Konstr. mit neuem Subjekt übergehend; *ea peracta esse vult*, vgl. V, 4, 7. — *ἑαυτῷ*] wie jeder Dat. graecus zugleich den Dat. commodi involvierend.

13. *μήν*] „nun also“, Gedankenfortschritt. — *ἀποροῦντες*] *ἥκομεν* „in bedrängter Lage“. — *εἰ μὲν* ... *εἰ δέ*] = *εἴτε* ... *εἴτε*, untergeordnet zu *ἰδόντες*, welches wiederum den hypothet. Vordersatz zu *γνοίητε ἄν* bildet. — *τί μήν ἐστιν*] *αἴτιον τοῦ ἥκειν*. — *τῶν συμμ. τινές*] ironisch „gewisse Leute“, d. h. die Thebaner. — *οὐκ ἀρεστὰ πράττουσιν ἡμῖν*] vgl. § 1: *ὁρῶντες* ... *οὐκέτι ἐπῄνουν τ. Θηβ.* Die Unzufriedenheit mit Thebens Übergriffen ist in der That nach der Zurückweisung unrichtiger Motive der erste positive Grund ihres Erscheinens. — *οὐκ ἀρεστά*] nach *εἰ* statt *μή ἀρ.* bildet

ἀρεστά. ἴσως δὲ καὶ βουλοίμεθ᾽ ἂν ὧν ἕνεκα περιεσώσατε ἡμᾶς
14 ἃ ὀρθῶς ἔγνωμεν ὑμῖν ἐπιδεῖξαι. ἵνα δὲ καὶ τοῦ συμφόρου ἔτι ἐπιμνησθῶ, εἰσὶ μὲν δήπου πασῶν τῶν πόλεων αἱ μὲν τὰ ὑμέτερα, αἱ δὲ τὰ ἡμέτερα φρονοῦσαι καὶ ἐν ἑκάστῃ πόλει οἱ μὲν λακωνίζουσιν, οἱ δὲ ἀττικίζουσιν. εἰ οὖν ἡμεῖς φίλοι γενοίμεθα, πόθεν ἂν εἰκότως χαλεπόν τι προσδοκήσαιμεν; καὶ γὰρ δὴ κατὰ γῆν μὲν τίς ἂν ὑμῶν φίλων ὄντων ἱκανὸς γένοιτο ἡμᾶς λυπῆσαι; κατὰ θάλατταν γε μὴν τίς ἂν ὑμᾶς βλάψαι τι ἡμῶν ὑμῖν ἐπιτη-
15 δείων ὄντων; ἀλλὰ μέντοι ὅτι μὲν πόλεμοι ἀεί ποτε γίγνονται καὶ ὅτι καταλύονται, πάντες ἐπιστάμεθα, καὶ ὅτι ἡμεῖς, ἂν μὴ νῦν, ἀλλ᾽ αὖθίς ποτε εἰρήνης ἐπιθυμήσομεν. τί οὖν δεῖ ἐκεῖνον τὸν χρόνον ἀναμένειν, ἕως ἂν ὑπὸ πλήθους κακῶν ἀπείπωμεν, μᾶλλον ἢ νῦν ὡς τάχιστα πρίν τι ἀνήκεστον γενέσθαι τὴν εἰρήνην ποιή-
16 σασθαι; ἀλλὰ μὴν οὐδ᾽ ἐκείνους ἔγωγε ἐπαινῶ, οἵτινες ἀγωνισταὶ γενόμενοι καὶ νενικηκότες ἤδη πολλάκις καὶ δόξαν ἔχοντες οὕτως

---

einen einzigen Begriff etwa *ἄδικα*. — *οὐδ᾽ ὑμῖν ἀρεστά*] sc. *πράττουσιν*; eine Art von Captatio benevolentiae, durch welche Kallistratos wie Kallias die Identität der beiderseitigen Interessen gütlich beweisen will, vgl. auch § 4. 5. 17, während Autokles durch eine Strafrede sein Ziel zu erreichen sucht. — *ἴσως δὲ κτλ.*] „gleicher- und billigerweise", der zweite positive Grund für die Friedensgesandtschaft, näml. Dankbarkeit. — *βουλοίμεθ᾽ ἄν*] mit Aussicht auf Erfolg. — *ὧν ἕνεκα*] Attrakt. Relat. = *τούτων ἕνεκα ἅ*, d. i. Accus. d. Bez. = *ὅτι*, also Kausalsatz, während *ἃ* . . . *ἔγνωμεν* Objektssatz ist. Die ganze Stelle von *εὔδηλον* an läfst übrigens eine bestimmtere Motivierung erwarten.

14. *καὶ τοῦ συμφόρου*] dritter Grund für die Gesandtschaft; der polit. Vorteil im Gegensatz zu den Anstandsrücksichten *καλόν*. — *εἰσὶ μέν*] korrespondiert mit dem anakoluthischen *καὶ ἐν ἑκάστῃ*, statt *μὲν* . . . *δέ* oder *καὶ* . . . *καί*. Dieser Satz kann nicht logische Apodosis zum vorhergehenden Finalsatze sein, vielmehr ist zu ergänzen *εὖ ἴστε* . . . — *φρονοῦσαι*] „politische Ansicht teilen". — *ἡμεῖς*] komplexiv, erg. *καὶ ὑμεῖς*. — *ὑμῶν ὄντων*] welche Satzart vertretend? — *γε μήν*] stärker als *δέ* nach *μέν*, „aber nun gar", vgl. V, 4, 1. — *ἐπιτηδείων*] vgl. 2, 39.

15. *ὅτι μὲν* . . . *καὶ ὅτι*] wie § 14. — *ἀλλὰ μέντοι*] neues Moment = *ἀλλὰ μήν* § 16. — *ἂν μὴ νῦν*] sc. *ἐπιθυμήσωμεν*, *si non* . . . *at*. — *ἀπείπωμεν*] „versagen" d. i. „erliegen". — *μᾶλλον ἢ νῦν ὡς τάχιστα*] Gegensatz *ἐκεῖνον τὸν χρόνον* wie kurz vorher *ἂν μὴ νῦν ἀλλ᾽ αὖθίς ποτε*.

16. *ἀλλὰ μήν*] vgl. § 15; das dritte Motiv *τὸ σύμφορον* liegt in *νενικηκότες* . . . *ἀποτύχωσιν*. — *οὐδ᾽ ἐκείνους οἵτινες* . . . *οὐδὲ τῶν κυβευτῶν* (sc. *ἐκείνους*) *οἵτινες*] Protasis paratactica zu einem elliptischen *τοιούτους οὐκ ἐπαινῶ*, woran sich dann *οὐδέ* schliefst, „ebenso wenig

φιλονεικοῦσιν, ὥστε οὐ πρότερον παύονται, πρὶν ἂν ἡττηθέντες τὴν ἄσκησιν καταλύσωσιν, οὐδέ γε τῶν κυβευτῶν οἵτινες αὖ, ἐὰν ἕν τι ἐπιτύχωσι, περὶ διπλασίων κυβεύουσιν. ὁρῶ γὰρ καὶ τῶν τοιούτων τοὺς πλείους ἀπόρους παντάπασι γιγνομένους. ἃ χρὴ 17
καὶ ἡμᾶς ὁρῶντας εἰς μὲν τοιοῦτον ἀγῶνα μηδέποτε καταστῆναι, ὥστ᾽ ἢ πάντα λαβεῖν ἢ πάντ᾽ ἀποβαλεῖν, ἕως δὲ καὶ ἐρρώμεθα καὶ εὐτυχοῦμεν, φίλους ἀλλήλοις γενέσθαι. οὕτω γὰρ ἡμεῖς τ᾽ ἂν δι᾽ ὑμᾶς καὶ ὑμεῖς δι᾽ ἡμᾶς ἔτι μείζους ἢ τὸν παρελθόντα χρόνον ἐν τῇ Ἑλλάδι ἀναστρεφοίμεθα.

Δοξάντων δὲ τούτων καλῶς εἰπεῖν, ἐψηφίσαντο καὶ οἱ Λακε- 18
δαιμόνιοι δέχεσθαι τὴν εἰρήνην ἐφ᾽ ᾧ τούς τε ἁρμοστὰς ἐκ τῶν πόλεων ἐξάγειν τά τε στρατόπεδα διαλύειν καὶ τὰ ναυτικὰ καὶ τὰ πεζικὰ τάς τε πόλεις αὐτονόμους ἐᾶν. εἰ δέ τις παρὰ ταῦτα ποιοίη, τὸν μὲν βουλόμενον βοηθεῖν ταῖς ἀδικουμέναις πόλεσι, τῷ δὲ μὴ βουλομένῳ μὴ εἶναι ἔνορκον συμμαχεῖν τοῖς ἀδικουμένοις.
ἐπὶ τούτοις ὤμοσαν Λακεδαιμόνιοι μὲν ὑπὲρ αὑτῶν καὶ τῶν συμ- 19
μάχων, Ἀθηναῖοι δὲ καὶ οἱ σύμμαχοι κατὰ πόλεις ἕκαστοι. ἀπογραψάμενοι δ᾽ ἐν ταῖς ὀμωμοκυίαις πόλεσι καὶ οἱ Θηβαῖοι, προσ-

---

als ... und ...". — ἀθληταί ... ἄσκησιν] Athletenberuf. — ἐπιτύχωσι] vgl. V, 4, 14. — περί] „um den Preis". — τῶν τοιούτων] Der attributive Artikel weist auf die vorgängige Schilderung zurück. — ἀπόρους] „mittellos".

17. ἃ χρή κτλ.] Anwendung der zwei Gleichnisse auf den vorliegenden Fall. — ὁρῶντας] *respicere*. — λαβεῖν] vgl. 2, 39. — ἕως δέ] entspricht εἰς μέν, stark adversativ „sondern vielmehr". — τὸν ... χρόνον] Kasus der Zeitlinie resp. Zeitdauer. — ἀναστρεφοίμεθα] *versari*, „auftreten".

18. τούτων] die attischen Redner, deren Vorschläge von Lacedämon approbiert für alle Kontrahenten gleichmäfsig verbindlich werden. — ἐᾶν] εἶναι. — τὸν μὲν βουλ. ... τῷ μὴ βουλ.] hebt die für alle verbindliche frühere Bedingung des Antalcid. Friedens V, 1, 31, helfen zu müssen, auf; dies wird jetzt in das Belieben der Einzelnen gestellt. — βοηθεῖν ... συμμαχεῖν] synonym; zu letzterem ergänze μετὰ τῶν ταῦτα βουλομένων. — ἔνορκον] „eidliche Verpflichtung".

19. ὑπέρ] „im Namen". — ὑπ. τῶν συμμάχων] Dadurch wird die formell anerkannte Autonomie der spartanischen Bundesgenossen nicht alteriert; denn nach 4, 2 zieht Sparta Harmosten und Truppen zurück. Wenn nun Athen vorsichtiger auch auf die Vertretung ihrer σύμμαχοι verzichtet und Sparta den Thebanern dieselbe geradezu verweigert, so zeigt das nur, dafs die Spartaner als προστάται τῆς εἰρήνης V, 1, 36 keine Abänderung der einmal geleisteten Unterschriften gestatten. — ἀπογραψάμενοι] „eine Urkunde unterschreiben", konzessiv zu προσελθόντες

ἐλθόντες πάλιν τῇ ὑστεραίᾳ οἱ πρέσβεις αὐτῶν ἐκέλευον μεταγράφειν ἀντὶ Θηβαίων Βοιωτοὺς ὀμωμοκότας. ὁ δὲ Ἀγησίλαος ἀπεκρίνατο, ὅτι μεταγράψει μὲν οὐδὲν ὧν τὸ πρῶτον ὤμοσάν τε καὶ ἀπεγράψαντο· εἰ μέντοι μὴ βούλοιντο ἐν ταῖς σπονδαῖς εἶναι, ἐξαλείφειν ἂν ἔφη, εἰ κελεύοιεν. οὕτω δὴ εἰρήνην τῶν ἄλλων πεποιημένων, πρὸς δὲ Θηβαίους μόνους ἀντιλογίας οὔσης, οἱ μὲν Ἀθηναῖοι οὕτως εἶχον τὴν γνώμην, ὡς νῦν Θηβαίους τὸ λεγόμενον δὴ δεκατευθῆναι ἐλπὶς εἴη, αὐτοὶ δὲ οἱ Θηβαῖοι παντελῶς ἀθύμως ἔχοντες ἀπῆλθον.

4 Ἐκ δὲ τούτου οἱ μὲν Ἀθηναῖοι τάς τε φρουρὰς ἐκ τῶν πόλεων ἀπῆγον καὶ Ἰφικράτην καὶ τὰς ναῦς μετεπέμποντο καὶ ὅσα ὕστερον ἔλαβε μετὰ τοὺς ὅρκους τοὺς ἐν Λακεδαίμονι γενομένους,
2 πάντα ἠνάγκασαν ἀποδοῦναι. Λακεδαιμόνιοι μέντοι ἐκ μὲν τῶν ἄλλων πόλεων τούς τε ἁρμοστὰς καὶ τοὺς φρουροὺς ἀπήγαγον, Κλεόμβροτον δὲ ἔχοντα τὸ ἐν Φωκεῦσι στράτευμα καὶ ἐπερωτῶντα τὰ οἴκοι τέλη, τί χρὴ ποιεῖν, Προθόου λέξαντος, ὅτι αὐτῷ δοκοίη

ἐκέλευον, wobei οἱ πρέσβεις αὐτῶν epanaleptisch das genannte Subjekt οἱ Θηβαῖοι genauer bestimmt. — ἐξαλείφειν] τὸ ὄνομα Θηβαῖοι.

20. ἀντιλογίας οὔσης] bezeichnet den Wortwechsel bei Gesandtschaften mit streitenden Interessen, vgl. III, 2, 18; IV, 8, 15; VI, 5, 36. — τὸ λεγόμενον] appositiv zum Infin., „wie es im Volksmunde heifst“, vgl. § 8. — δεκατευθῆναι] ohne ἄν vgl. V, 4, 7; „der Selbständigkeit berauben“, eigentlich „der Gottheit zehntpflichtig machen“. Anwendung des Ausdrucks auf den Lohn der verräterischen Thebaner in den Perserkriegen bei Herodot VII, 132.

Kap. 4. § 1/15: **Schlacht bei Leuktra (371 v. Chr.).** — § 16/18: **Wirkung der Unglücksnachricht in Sparta. Neue Rüstungen (371).** — § 19/26: **Empfang der thebanischen Boten in Athen. Jasons Vermittelung. Abzug der Lakedämonier (371).** — § 27/32: **Jasons Heimkehr und Ende (370).** — § 33/37: **Exkurs über Jasons Nachfolger bis 357 v. Chr.**

1. ἐκ τῶν πόλεων] z. B. aus Kephallene und Akarnanien, vgl. 2, 33. 37. — Ἰφικράτην] an der lakonischen Küste, vgl. 2, 38. — ἔλαβε] Iphikrates. — ἠνάγκασαν] im Gegensatz zu der von Timotheos nicht strong beobachteten Friedensbedingung d. J. 374, vgl. 2, 3.

2. ἄλλων] prolept. zu Φωκεῦσιν. — μὲν ... ἀπήγαγον] nach der ersten Bestimmung des Friedens, vgl. 3, 18; Gegensatz das elliptische Κλεόμβροτον δέ sc. ἐκέλευσαν ... μὴ διαλύειν, welcher Satz nach der längeren konzessiven Zwischenperiode anakoluthisch wieder aufgenommen und zu Ende geführt wird, § 3: ἐπέστειλαν δὲ τ. Κλ. μὴ δ. ... — ἐν Φωκεῦσι] Das bisher nicht erwähnte Einrücken des Kleombrotos zum Schutze von Phocis gegen Theben erklärt sich aus 3, 1. — τὰ τέλη] „die

διαλύσαντας τὸ στράτευμα κατὰ τοὺς ὅρκους καὶ περιαγγείλαντας
ταῖς πόλεσι συμβαλέσθαι εἰς τὸν ναὸν τοῦ Ἀπόλλωνος ὁπόσον
βούλοιτο ἑκάστη πόλις, ἔπειτα εἰ μή τις ἐῴη αὐτονόμους τὰς
πόλεις εἶναι, τότε πάλιν παρακαλέσαντας ὅσοι τῇ αὐτονομίᾳ βού-
λοιντο βοηθεῖν, ἄγειν ἐπὶ τοὺς ἐναντιουμένους· οὕτω γὰρ ἂν ἔφη
οἴεσθαι τούς τε θεοὺς εὐμενεστάτους εἶναι καὶ τὰς πόλεις ἥκιστ'
ἂν ἄχθεσθαι· ἡ δ' ἐκκλησία ἀκούσασα ταῦτα ἐκεῖνον μὲν φλυαρεῖν 3
ἡγήσατο· — ἤδη γάρ, ὡς ἔοικε, τὸ δαιμόνιον ἦγεν· — ἐπέστειλαν
δὲ τῷ Κλεομβρότῳ μὴ διαλύειν τὸ στράτευμα, ἀλλ' εὐθὺς ἄγειν
ἐπὶ τοὺς Θηβαίους, εἰ μὴ αὐτονόμους ἀφίοιεν τὰς πόλεις. ἐπεὶ
οὖν ᾔσθετο οὐχ ὅπως τὰς πόλεις ἀφιέντας, ἀλλ' οὐδὲ τὸ στρά-
τευμα διαλύοντας, ὡς ἀντιτάττοιντο πρὸς αὐτούς, οὕτω δὴ ἄγει
τὴν στρατιὰν εἰς τὴν Βοιωτίαν. καὶ ᾗ μὲν οἱ Θηβαῖοι ἐμβαλεῖν
αὐτὸν ἐκ τῶν Φωκέων προσεδόκων καὶ ἐπὶ στενῷ τινι ἐφύλαττον,
οὐκ ἐμβάλλει· διὰ Θισβῶν δὲ ὀρεινὴν καὶ ἀπροσδόκητον πορευθεὶς
ἀφικνεῖται εἰς Κρεῦσιν καὶ τὸ τεῖχος αἱρεῖ καὶ τριήρεις τῶν Θη-
βαίων δώδεκα λαμβάνει. ταῦτα δὲ ποιήσας καὶ ἀναβὰς ἀπὸ τῆς 4

Spitzen des Staates", hier die Ephoren, deren einer Prothoos war. — *ὅτι αὐτῷ δοκοίη*] in Or. recta: *ἐμοὶ δοκεῖ.* — *διαλύσαντας*] nach der zweiten Friedensbestimmung. — *συμβαλέσθαι*] abh. von dem Verb. imperandi *παραγγείλαντας.* — *τὸν ναόν*] *ἐν Δελφοῖς* im Lande Phocis. Aus diesen freiwilligen Beisteuern sollte eine gemeinsame Exekutiv-Kriegskasse gebildet werden im Hinblick auf die im nächsten Satze angedeutete Eventualität. — *ἐῴη αὐτονόμους ... εἶναι*] nach der dritten Friedensbestimmung. — *βούλοιντο βοηθεῖν*] nach der vierten Friedensbestimmung. — *οὕτω γὰρ ... ἔφη ... ἦγεν*] anakoluthischer Übergang des konzessiven Partizipialsatzes *Πρ. λέξαντος* in einen Hauptsatz, dessen Form nunmehr auch der Gegensatz *ἡ δὲ ἐκκλησία ... ἡγήσατο* annimmt statt *τῆς δὲ ἐκκλ. ἡγησαμένης*; die weitere Folge davon ist der bereits erwähnte anakoluthische Übergang *ἐπέστειλαν δὲ κτλ.* — *ἂν ἔφη*] vgl. V, 1, 15.

3. *τὸ δαιμόνιον*] *Ἄτη,* die Verblendung. — *ἦγε*] *τοὺς Λακεδαιμονίους.* — *οὐχ ὅπως ... ἀλλ' οὐδέ*] *non modo (non) ... sed ne ... quidem,* vgl. zu V, 4, 34. — *ἀφιέντας*] erg. das Subjekt aus dem Vorigen. — *ὡς ἀντιτάττοιντο*] finales Motiv zu *οὐδὲ ... διαλύοντας* = *συντεταγμένον ἔχοντας.* — *πρὸς αὐτούς*] *τοὺς Λακεδαιμονίους.* — *οὕτω*] epanaleptisch für den Kausalsatz auch ohne Participium. — *ἐμβαλεῖν*] zweideutige Form! — *στενῷ τινι*] Engpafs bei Koronea zwischen dem Helikon und dem Kopaissee, im NW. von Theben. — *Θίσβαι*] St. im SW. von Theben, im S. von Helikon. — *ὀρεινήν*] *ὁδόν.* — *Κρεῦσις*] Festung und Hafenstadt im S. von Böotien, an der Grenze des Isthmus, sollte als Deckung des Rückzugs dienen.

4. *ἀναβάς*] landeinwärts also nach

θαλάττης ἐστρατοπεδεύσατο ἐν Λεύκτροις τῆς Θεσπικῆς. οἱ δὲ
Θηβαῖοι ἐστρατοπεδεύσαντο ἐπὶ τῷ ἀπαντικρὺ λόφῳ οὐ πολὺ
διαλείποντες, οὐδένας ἔχοντες συμμάχους ἀλλ᾽ ἢ τοὺς Βοιωτούς.
5 ἔνθα δὴ τῷ Κλεομβρότῳ οἱ μὲν φίλοι προσιόντες ἔλεγον· Ὦ
Κλεόμβροτε, εἰ ἀφήσεις τοὺς Θηβαίους ἄνευ μάχης, κινδυνεύσεις
ὑπὸ τῆς πόλεως τὰ ἔσχατα παθεῖν. ἀναμνησθήσονται γάρ σου
καὶ ὅτε εἰς Κυνὸς κεφαλὰς ἀφικόμενος οὐδὲν τῆς χώρας τῶν Θη-
βαίων ἐδῄωσας καὶ ὅτε ὕστερον στρατεύων ἀπεκρούσθης τῆς ἐμβο-
λῆς, Ἀγησιλάου ἀεὶ ἐμβάλλοντος διὰ τοῦ Κιθαιρῶνος. εἴπερ οὖν
ἢ σαυτοῦ κήδῃ ἢ τῆς πατρίδος ἐπιθυμεῖς, ἀκτέον ἐπὶ τοὺς ἄνδρας.
οἱ μὲν φίλοι τοιαῦτα ἔλεγον· οἱ δ᾽ ἐναντίοι, Νῦν δή, ἔφασαν, δη-
λώσει ὁ ἀνήρ, εἰ τῷ ὄντι κήδεται τῶν Θηβαίων, ὥσπερ λέγεται.
6 ὁ μὲν δὴ Κλεόμβροτος ταῦτα ἀκούων παρωξύνετο πρὸς τὸ μάχην
συνάπτειν. τῶν δ᾽ αὖ Θηβαίων οἱ προεστῶτες ἐλογίζοντο, ὡς, εἰ
μὴ μαχοῖντο, ἀποστήσοιντο μὲν αἱ περιοικίδες αὐτῶν πόλεις, αὐτοὶ
δὲ πολιορκήσοιντο· εἰ δὲ μὴ ἕξοι ὁ δῆμος ὁ Θηβαίων τἀπιτήδεια,
ὅτι κινδυνεύσοι καὶ ἡ πόλις αὐτοῖς ἐναντία γενέσθαι. ἅτε δὲ καὶ
πεφευγότες πρόσθεν πολλοὶ αὐτῶν ἐλογίζοντο κρεῖττον εἶναι μα-
7 χομένους ἀποθνήσκειν ἢ πάλιν φεύγειν. πρὸς δὲ τούτοις παρε-
θάρρυνε μέν τι αὐτοὺς καὶ ὁ χρησμὸς ὁ λεγόμενος, ὡς δέοι ἐνταῦθα
Λακεδαιμονίους ἡττηθῆναι, ἔνθα τὸ τῶν παρθένων ἦν μνῆμα, αἳ

N. — τὰ Λεῦκτρα] St. im SW. von Theben. — καταντικρύ] im N. von d. spartanischen Stellung. — οὐ πολύ] χωρίον. — οὐδένας] *nullos*, d. i. qualitativ „keinerlei“, stärker als das rein numerische οὐκ. — ἀλλ᾽ ἤ] pleonastisch im Sinne von ἄλλους ἤ.

5. πόλεως] Vaterstadt. — σου] prolept. Attraktion des folg. Subjekts. — ὅτε] = τοῦ χρόνου ἐν ᾧ. — Κυνὸς κεφαλαί] Hügel zw. Theben u. Thespiä; zur Sache vgl. V, 4, 15. — ὕστερον … ἀπεκρούσθης] zur Sache vgl. V, 4, 59. — ἐμβάλλοντος] konzessiv, „während dagegen“. — ἐπιθυμεῖς] = ἐρᾷς = μὴ βούλῃ φεύγειν. — ἀκτέον] σοί ἐστι τὸ στράτευμα. — κήδεται] *favere*.

6. παρωξύνετο] „aufstacheln“, stärker als παρεθάρρυνε § 7. — προεστῶτες] die sieben Böotarchen, darunter Epaminondas, welcher auffallenderweise in der ganzen Darstellung der Schlacht bei Leuktra gar nicht genannt ist. — εἰ … μαχοῖντο] vgl. V, 1, 34. — πολιορκήσοιντο] Fut. Med. statt Fut. Pass. nach Analogie vieler Deponentia. — εἰ δὲ μή] nicht Gegensatz, sondern Schlufsfolgerung zu εἰ μή. — ὅτι] objektiver als ὡς. — κινδυνεύσοι] vgl. 2, 23. — πόλις] Hauptstadt. — πολλοὶ αὐτῶν] von der jetzt wieder herrschenden Partei, den προεστῶτες.

7. λεγόμενος] im Volksmunde erst der Spartaner, später auch der Thebaner. — τῶν παρθένων] nach anderweitiger Überlieferung Molpia und Hippo,

λέγονται διὰ τὸ βιασθῆναι ὑπὸ Λακεδαιμονίων τινῶν ἀποκτεῖναι
ἑαυτάς. καὶ ἐκόσμησαν δὴ τοῦτο τὸ μνῆμα οἱ Θηβαῖοι πρὸ τῆς
μάχης. ἀπηγγέλλετο δὲ καὶ ἐκ τῆς πόλεως αὐτοῖς, ὡς οἵ τε νεῴ
πάντες αὐτόματοι ἀνεῴγοντο αἵ τε ἱέρειαι λέγοιεν, ὡς νίκην οἱ
θεοὶ φαίνοιεν. ἐκ δὲ τοῦ Ἡρακλείου καὶ τὰ ὅπλα ἔφασαν ἀφανῆ
εἶναι, ὡς τοῦ Ἡρακλέους εἰς τὴν μάχην ἐξωρμημένου. οἱ μὲν δή
τινες λέγουσιν, ὡς ταῦτα πάντα τεχνάσματα ἦν τῶν προεστηκότων.
εἰς δ᾽ οὖν τὴν μάχην τοῖς μὲν Λακεδαιμονίοις πάντα τἀναντία 8
ἐγίγνετο, τοῖς δὲ πάντα καὶ ὑπὸ τῆς τύχης κατωρθοῦτο. ἦν μὲν
γὰρ μετ᾽ ἄριστον τῷ Κλεομβρότῳ ἡ τελευταία βουλὴ περὶ τῆς
μάχης· ἐν δὲ τῇ μεσημβρίᾳ ὑποπινόντων καὶ τὸν οἶνον παροξῦναί
τι αὐτοὺς ἔλεγον. ἐπεὶ δὲ ὡπλίζοντο ἑκάτεροι καὶ πρόδηλον ἤδη 9
ἦν, ὅτι μάχη ἔσοιτο, πρῶτον μὲν ἀπιέναι ὡρμημένων ἐκ τοῦ Βοιω-
τίου στρατεύματος τῶν τὴν ἀγορὰν παρεσκευακότων καὶ σκευοφόρων
τινῶν καὶ τῶν οὐ βουλομένων μάχεσθαι, περιιόντες κύκλῳ οἵ τε
μετὰ τοῦ Ἱέρωνος μισθοφόροι καὶ οἱ τῶν Φωκέων πελτασταὶ καὶ
τῶν ἱππέων Ἡρακλεῶται καὶ Φλιάσιοι ἐπιθέμενοι τοῖς ἀπιοῦσιν
ἐπέστρεψάν τε αὐτοὺς καὶ κατεδίωξαν πρὸς τὸ στρατόπεδον τὸ τῶν
Βοιωτῶν· ὥστε πολὺ μὲν ἐποίησαν μεῖζόν τε καὶ ἀθροώτερον ἢ
πρόσθεν τὸ τῶν Βοιωτῶν στράτευμα. ἔπειτα δέ, ἅτε καὶ πεδίου 10
ὄντος τοῦ μεταξύ, προετάξαντο μὲν τῆς ἑαυτῶν φάλαγγος οἱ Λα-
κεδαιμόνιοι τοὺς ἱππέας, ἀντετάξαντο δ᾽ αὐτοῖς καὶ οἱ Θηβαῖοι
τοὺς ἑαυτῶν. ἦν δὲ τὸ μὲν τῶν Θηβαίων ἱππικὸν μεμελετηκὸς

Töchter des Leuktros resp. Skedasos; ihr Beispiel erinnert an das der Lucretia. — *ὡς ... φαίνοιεν*] sc. *τούτῳ τῷ πράγματι*, abhängig von dem ähnlich konstruierten *ὡς ... λέγοιεν*, bei welchem auch der Moduswechsel zu beachten ist. — *ἐξωρμημένου*] *σὺν τοῖς ὅπλοις*. — *τεχνάσματα*] speziell vonseiten des Epaminondas, um vorhandene ungünstige Zeichen zu paralysieren.

8. *τἀναντία*] adverbiell, *inique*. — *ἐγίγνετο*] „verlief". — *τοῖς δέ*] *Θηβαίοις*. — *καὶ ὑπὸ τῆς τύχης*] Gegens. *οὐ μόνον διὰ τῆς ἀρετῆς*, vgl. § 12. 13. Diese *τύχη* bestand in den nachstehenden Fehlern Spartas. — *ἐν μεσημβρίᾳ ὑποπινόντων*] vgl. V, 3, 13. — *ἔλεγον*] sc. *τότε*.

9. *ὡρμημένων*] Prädikat zu welchem Subjekt? — *ἀγορὰν παρεσκ.*] vgl. 2, 23 *ἀγοραῖος ὄχλος*. — *τῶν οὐ βουλομένων*] nach anderweitigem Berichte die Thespier. *οὐ* bei dem Partic. bezeichnet das Fait accompli, also bereits bestimmte Individuen. — *Ἡρακλεῶται*] aus Heraklea im Spercheiosthale im N. von Doris.

10. *ἔπειτα δέ*] vgl. § 9 *πρῶτον μέν*. — *πεδίου*] welches Satzglied? — *τοῦ μεταξύ*] *χωρίου* zwischen den beiden Heeren. — *μεμελετηκός*] absolut; erg. etwa *ἀλκήν*, Gegens. unten *πονηρό-*

διά τε τὸν πρὸς Ὀρχομενίους πόλεμον καὶ διὰ τὸν πρὸς Θεσπιέας, τοῖς δὲ Λακεδαιμονίοις κατ᾽ ἐκεῖνον τὸν χρόνον πονηρότατον ἦν
11 τὸ ἱππικόν. ἔτρεφον μὲν γὰρ τοὺς ἵππους οἱ πλουσιώτατοι· ἐπεὶ δὲ φρουρὰ φανθείη, τότε ἧκεν ὁ συντεταγμένος· λαβὼν δ᾽ ἂν τὸν ἵππον καὶ ὅπλα ὁποῖα δοθείη αὐτῷ ἐκ τοῦ παραχρῆμα ἂν ἐστρατεύετο· τῶν δ᾽ αὖ στρατιωτῶν οἱ τοῖς σώμασιν ἀδυνατώτατοι
12 καὶ ἥκιστα φιλότιμοι ἐπὶ τῶν ἵππων ἦσαν. τοιοῦτον μὲν οὖν τὸ ἱππικὸν ἑκατέρων ἦν. τῆς δὲ φάλαγγος τοὺς μὲν Λακεδαιμονίους ἔφασαν εἰς τρεῖς τὴν ἐνωμοτίαν ἄγειν· τοῦτο δὲ συμβαίνειν αὐτοῖς οὐ πλέον ἢ εἰς δώδεκα τὸ βάθος. οἱ δὲ Θηβαῖοι οὐκ ἔλαττον ἢ ἐπὶ πεντήκοντα ἀσπίδων συνεστραμμένοι ἦσαν, λογιζόμενοι, ὡς, εἰ νικήσειαν τὸ περὶ τὸν βασιλέα, τὸ ἄλλο πᾶν εὐχείρωτον ἔσοιτο.
13 ἐπεὶ δὲ ἤρξατο ἄγειν ὁ Κλεόμβροτος πρὸς τοὺς πολεμίους, πρῶτον μὲν πρὶν καὶ αἰσθέσθαι τὸ μετ᾽ αὐτοῦ στράτευμα ὅτι ἡγοῖτο, καὶ δὴ καὶ οἱ ἱππεῖς συνεβεβλήκεσαν καὶ ταχὺ ἥττηντο οἱ τῶν Λακεδαιμονίων· φεύγοντες δὲ ἐνεπεπτώκεσαν τοῖς ἑαυτῶν ὁπλίταις, ἔτι δὲ ἐνέβαλλον οἱ τῶν Θηβαίων λόχοι. ὅμως δέ, ὡς οἱ μὲν περὶ τὸν Κλεόμβροτον τὸ πρῶτον ἐκράτουν τῇ μάχῃ, σαφεῖ τούτῳ

τατον; vgl. § 11 *ἐκ τοῦ παραχρῆμα*. — *διά*] „infolge“.

11. *ἔτρεφον κτλ.*] Die Schilderung prägt sich in den iterativen Satzformen der Haupt- und Nebensätze aus. — *ἂν ἐστρ.*] *ἄν* epanaleptisch. — *φρουρὰ φανθείη*] vgl. V, 1, 29. — *συντεταγμένος*] *ἱππεύς*. — *παραχρῆμα*] Gegens. *μεμελετηκός*. — *σώμασι ... φιλότιμοι*] physisch und moralisch.

12. *εἰς τρεῖς*] in drei Rotten zu zwölf Mann Tiefe. — *ἐνωμοτίαν*] Das Fufsheer der Spartaner hatte 6 *μόραι*; 1 *μόρα* = 2 *τάξεις*, 1 *τάξις* = 2 *λόχοι*, 1 *λόχος* = 2 *πεντηκοστύες*, 1 *πεντηκοστύς* = 2 *ἐνωμοτίαι*. Die *ἐνωμοτία* bestand meist aus 25 Mann, hier aus 36 Mann. Die Führer der Abteilungen haben entsprechende Namen; nur der Führer der Mora hiefs *πολέμαρχος*, vgl. III, 5, 22. — *ἄγειν ... συμβαίνειν*] Inf. Impf. — *συμβαίνειν*] „ergeben“. — *ἔλαττον*] Adverb. = *ἐπ᾽ ἐλαττόνων*. — *ἐπὶ πεντήκοντα*] „zu 50 M. Tiefe“. — *ἀσπίδων*] Metonymie für *ἀνδρῶν*. — *συνεστραμμένοι*] „dicht geschlossen“. Hierbei kam die von Epaminondas zuerst angewendete schräge Schlachtordnung zur Geltung, *λοξὴ φάλαγξ*, welche sich mit dem dichtgeschlossenen linken Flügel in die feindliche Linie einbohrte, während der rechte Flügel unter einem stumpfen Winkel zurückblieb, um die Umzinglung zu verhüten.

13. *στράτευμα*] Inversion des Subjekts. — *ἡγοῖτο*] wer? — *καὶ δή*] = *ἤδη* setzt den mit *πρῶτον* begonnenen Hauptsatz fort und betont *συνεβεβλήκεσαν*, während das nächste *καί* das Subj. *οἱ ἱππεῖς* dem Subj. *Κλεόμβροτος* gegenüberstellt; es liegt also hier nicht die gewöhnliche Verbindung *καὶ δὴ καί* = *καὶ ... δέ* „und auch“ vor. — *σαφεῖ ... τεκμηρίῳ*] prädik.

*τεκμηρίῳ γνοίη τις ἄν· οὐ γὰρ ἂν ἠδύναντο αὐτὸν ἀνελέσθαι καὶ
ζῶντα ἀπενεγκεῖν, εἰ μὴ οἱ πρὸ αὐτοῦ μαχόμενοι ἐπεκράτουν ἐν
ἐκείνῳ τῷ χρόνῳ. ἐπεὶ μέντοι ἀπέθανε Δείνων τε ὁ πολέμαρχος* 14
*καὶ Σφοδρίας τῶν περὶ δαμοσίαν καὶ Κλεώνυμος ὁ υἱὸς αὐτοῦ,
καὶ οἱ μὲν ἱππεῖς καὶ οἱ συμφορεῖς τοῦ πολεμάρχου καλούμενοι
οἵ τε ἄλλοι ὑπὸ τοῦ ὄχλου ὠθούμενοι ἀνεχώρουν, οἱ δὲ τοῦ εὐω-
νύμου ὄντες τῶν Λακεδαιμονίων ὡς ἑώρων τὸ δεξιὸν ὠθούμενον,
ἐνέκλιναν· ὅμως δὲ πολλῶν τεθνεώτων καὶ ἡττημένοι ἐπεὶ διέβη-
σαν τὴν τάφρον, ἣ πρὸ τοῦ στρατοπέδου ἔτυχεν οὖσα αὐτοῖς,
ἔθεντο τὰ ὅπλα κατὰ χώραν, ἔνθεν ὥρμηντο. ἦν μέντοι οὐ πάνυ
ἐν ἐπιπέδῳ, ἀλλὰ πρὸς ὀρθίῳ μᾶλλόν τι τὸ στρατόπεδον. ἐκ δὲ
τούτου ἦσαν μέν τινες τῶν Λακεδαιμονίων, οἳ ἀφόρητον τὴν συμ-
φορὰν ἡγούμενοι τό τε τρόπαιον ἔφασαν χρῆναι κωλύειν ἱστάναι
τοὺς πολεμίους τούς τε νεκροὺς μὴ ὑποσπόνδους, ἀλλὰ διὰ μάχης
πειρᾶσθαι ἀναιρεῖσθαι. οἱ δὲ πολέμαρχοι ὁρῶντες μὲν τῶν συμ-* 15
*πάντων Λακεδαιμονίων τεθνεῶτας ἐγγὺς χιλίους, ὁρῶντες δ' αὐτῶν
Σπαρτιατῶν, ὄντων τῶν ἐκεῖ ὡς ἑπτακοσίων, τεθνηκότας περὶ
τετρακοσίους, αἰσθανόμενοι δὲ τοὺς συμμάχους πάντας μὲν ἀθύ-
μως ἔχοντας πρὸς τὸ μάχεσθαι, ἔστι δὲ οὓς αὐτῶν οὐδὲ ἀχθομέ-
νους τῷ γεγενημένῳ, συλλέξαντες τοὺς ἐπικαιριωτάτους ἐβουλεύοντο,
τί χρὴ ποιεῖν. ἐπεὶ δὲ πᾶσιν ἐδόκει ὑποσπόνδους τοὺς νεκροὺς
ἀναιρεῖσθαι, οὕτω δὴ ἔπεμψαν κήρυκα περὶ σπονδῶν. οἱ μέντοι*

---

zu *τούτῳ*. — *ἠδύναντο ... ἐπεκράτουν*] Irrealis der Vergangenheit mit durativem Sinne. — *ἀνελέσθαι*] Nur hieraus läfst sich die tödliche Verwundung und der baldige Tod des Königs schliefsen.

14. *μέντοι ἀπέθανε*] kann in dieser Verbindung sich nicht auf den König, sondern auf die nächstgenannten drei Zeltgenossen, *οἱ πρὸ αὐτοῦ μαχόμενοι* beziehen. — *πολέμαρχος*] vgl. § 13. — *Σφοδρίας*] vgl. V, 4, 23. — *δαμοσίαν*] *σκηνήν*, das Staatszelt, d. i. das Hauptquartier. — *Κλεώνυμος*] der hier sein Versprechen erfüllt, vgl. V, 4, 33. — *συμφορεῖς*] *comites*, etwa unseren Adjutanten entsprechend. — *ὄχλου*] *τῶν συνεστραμμένων*. — *ἔτυχεν οὖσα*] also ein natürlicher Graben. — *τρόπαιον*] emphat. Stellung, Objekt wozu? — *πολεμίους*] Objekt wozu? — *ὑποσπόνδους*] vgl. 1, 24.

15. *τῶν ἐκεῖ*] aus dem Artikel erklärt sich die absolute Partiz. Konstruktion. — *οὐδὲ ἀχθομένους*] Zeugnis von dem verbissenen Hafs der Bundesgenossen gegen Sparta. — *τοὺς ἐπικαιριωτάτους*] vgl. III, 3, 11, wahrscheinlich die Polemarchen, Lochagen und Pentekonteren wie nach der Schlacht bei Haliartos III, 5, 22. Ähnlich zog auch Cäsar die Centuriones primorum ordinum zum Kriegsrate zu. — *οὕτω*] vgl. § 3.

Θηβαῖοι μετὰ ταῦτα καὶ τρόπαιον ἐστήσαντο καὶ τοὺς νεκροὺς ὑποσπόνδους ἀπέδοσαν.

16 *Γενομένων δὲ τούτων ὁ μὲν εἰς τὴν Λακεδαίμονα ἀγγελῶν τὸ πάθος ἀφικνεῖται γυμνοπαιδιῶν τε οὔσης τῆς τελευταίας καὶ τοῦ ἀνδρικοῦ χοροῦ ἔνδον ὄντος· οἱ δὲ ἔφοροι ἐπεὶ ἤκουσαν τὸ πάθος, ἐλυποῦντο μέν, ὥσπερ, οἶμαι, ἀνάγκη· τὸν μέντοι χορὸν οὐκ ἐξήγαγον, ἀλλὰ διαγωνίσασθαι εἴων. καὶ τὰ μὲν ὀνόματα πρὸς τοὺς οἰκείους ἑκάστου τῶν τεθνεώτων ἀπέδοσαν· προεῖπον δὲ ταῖς γυναιξὶ μὴ ποιεῖν κραυγήν, ἀλλὰ σιγῇ τὸ πάθος φέρειν. τῇ δ᾽ ὑστεραίᾳ ἦν ὁρᾶν ὧν μὲν ἐτέθνασαν οἱ προσήκοντες, λιπαροὺς καὶ φαιδροὺς ἐν τῷ φανερῷ ἀναστρεφομένους, ὧν δὲ ζῶντες ἠγγελμένοι ἦσαν, ὀλίγους ἂν εἶδες, τούτους δὲ σκυθρωποὺς καὶ ταπεινοὺς περιιόντας.*

17 *Ἐκ δὲ τούτου φρουρὰν μὲν ἔφαινον οἱ ἔφοροι ταῖν ὑπολοίποιν μόραιν μέχρι τῶν τετταράκοντα ἀφ᾽ ἥβης· ἐξέπεμπον δὲ καὶ ἀπὸ τῶν ἔξω μορῶν μέχρι τῆς αὐτῆς ἡλικίας· τὸ γὰρ πρόσθεν εἰς τοὺς Φωκέας μέχρι τῶν πέντε καὶ τριάκοντα ἀφ᾽ ἥβης ἐστράτευντο· καὶ τοὺς ἐπ᾽ ἀρχαῖς δὲ τότε καταλειφθέντας ἀκολουθεῖν*
18 *ἐκέλευον. ὁ μὲν οὖν Ἀγησίλαος ἐκ τῆς ἀσθενείας οὔπω ἴσχυεν· ἡ δὲ πόλις Ἀρχίδαμον τὸν υἱὸν ἐκέλευεν ἀντ᾽ αὐτοῦ ἡγεῖσθαι. προθύμως δ᾽ αὐτῷ συνεστρατεύοντο Τεγεᾶται· ἔτι γὰρ ἔζων οἱ περὶ Στάσιππον, λακωνίζοντες καὶ οὐκ ἐλάχιστον δυνάμενοι ἐν τῇ πόλει. ἐρρωμένως δὲ καὶ οἱ Μαντινεῖς ἐκ τῶν κωμῶν συνεστρατεύοντο· ἀριστοκρατούμενοι γὰρ ἐτύγχανον. καὶ Κορίνθιοι δὲ καὶ*

---

16. *ἀγγελῶν*] zum Subjekt gezogen, prägnant für *ὁ ἀνήρ, ὃς ἀπεστάλη ἀγγελῶν* ... — *γυμνοπαιδιῶν*] ein mit Gesang und Tanz verbundenes Turnfest spartanischer Knaben, Jünglinge und Männer. — *ἔνδον*] *ἐν τῷ θεάτρῳ*. — *ἀνάγκη*] = *εἰκός*, Naturnotwendigkeit. — *ἐξήγαγον*] *ἔπαυσαν*. — *διαγωνίσασθαι*] beachte die Präposition. — *τεθνεώτων*] abh. von *ὀνόματα* und *οἰκείους*. — *προεῖπον*] *praecipere*. — *ἦν*] *παρῆν* = *ἐξῆν*. — *ὧν*] erg. daraus das Obj. des Nachsatzes. — *ἀναστρεφομένους*] *versari*. — *ἂν εἶδες*] *cerneres* = *ἦν ὁρᾶν*.

17. *φρουρὰν ἔφαινον*] vgl. V, 1, 29. — *ταῖν μόραιν*] zur Sache vgl. 1, 17. — *τῶν τετταράκοντα ἀφ᾽ ἥβης*] das vierte und letzte Aufgebot, welches die Männer bis zum 40. Dienst- oder 60. Lebensjahre umfafst. — *ἐξέπεμπον*] *τοὺς ἄνδρας τοὺς μέχρι*. — *ἀπό*] partitiv, wie öfter. — *τῶν ἔξω*] die Reserven, welche stark gelichtet in Böotien standen; Gegens. *ταῖν ὑπολοίποιν* sc. *ἐν Σπάρτῃ*. — *ἐπ᾽ ἀρχαῖς*] zur Verwaltung der Staatsämter, die bis dahin Unabkömmlichen.

18. *οὔπω ἴσχυεν*] zur Sache vgl. V, 4, 58; seit d. J. 376 v. Chr. — *ἔτι*] Hinweis auf die spätere Erzählung 5, 6—10. — *κωμῶν*] zur Sache vgl. V,

Σικυώνιοι καὶ Φλιάσιοι καὶ Ἀχαιοὶ μάλα προθύμως ἠκολούθουν,
καὶ ἄλλαι δὲ πόλεις ἐξέπεμπον στρατιώτας. ἐπλήρουν δὲ καὶ
τριήρεις αὐτοί τε οἱ Λακεδαιμόνιοι καὶ Κορίνθιοι καὶ ἐδέοντο
καὶ Σκυωνίων συμπληροῦν, ἐφ' ὧν διενοοῦντο τὸ στράτευμα δια-
βιβάζειν. καὶ ὁ μὲν δὴ Ἀρχίδαμος ἐθύετο ἐπὶ τῇ διαβάσει. 19
Οἱ δὲ Θηβαῖοι εὐθὺς μὲν μετὰ τὴν μάχην ἔπεμψαν εἰς
Ἀθήνας ἄγγελον ἐστεφανωμένον καὶ ἅμα μὲν τῆς νίκης τὸ μεγε-
θος ἔφραζον, ἅμα δὲ βοηθεῖν ἐκέλευον λέγοντες, ὡς νῦν ἐξείη
Λακεδαιμονίους πάντων ὧν ἐπεποιήκεσαν αὐτοὺς τιμωρήσασθαι.
τῶν δὲ Ἀθηναίων ἡ βουλὴ ἐτύγχανεν ἐν ἀκροπόλει καθημένη.
ἐπεὶ δ' ἤκουσαν τὸ γεγενημένον, ὅτι μὲν σφόδρα ἠνιάθησαν, πᾶσι 20
δῆλον ἐγένετο· οὔτε γὰρ ἐπὶ ξένια τὸν κήρυκα ἐκάλεσαν περί τε
τῆς βοηθείας οὐδὲν ἀπεκρίναντο. καὶ Ἀθήνηθεν μὲν οὕτως ἀπῆλ-
θεν ὁ κῆρυξ. πρὸς μέντοι Ἰάσονα, σύμμαχον ὄντα, ἔπεμπον
σπουδῇ οἱ Θηβαῖοι κελεύοντες βοηθεῖν, διαλογιζόμενοι, πῇ τὸ
μέλλον ἀποβήσοιτο. ὁ δ' εὐθὺς τριήρεις μὲν ἐπλήρου, ὡς βοη- 21
θήσων κατὰ θάλατταν, συλλαβὼν δὲ τό τε ξενικὸν καὶ τοὺς περὶ
αὐτὸν ἱππεῖς, καίπερ ἀκηρύκτῳ πολέμῳ τῶν Φωκέων χρωμένων,
πεζῇ διεπορεύθη εἰς τὴν Βοιωτίαν, ἐν πολλαῖς τῶν πόλεων πρό-
τερον ὀφθεὶς ἢ ἀγγελθεὶς ὅτι πορεύοιτο. πρὶν οὖν συλλέγεσθαί
τι πανταχόθεν ἔφθανε πόρρω γιγνόμενος, δῆλον ποιῶν, ὅτι πολ-
λαχοῦ τὸ τάχος μᾶλλον τῆς βίας διαπράττεται τὰ δέοντα. ἐπεὶ 22
δὲ ἀφίκετο εἰς τὴν Βοιωτίαν, λεγόντων τῶν Θηβαίων, ὡς καιρὸς

2, 7. — *καί*] vor *τριήρεις* und *Σικυωνίων*, „auch“. — *συμπληροῦν*] Obj. aus dem Vorhergehenden. — *διαβιβάζειν*] nach Kreusis.

19. *ἐπὶ τῇ διαβάσει*] *τὰ διαβατήρια*. — *ἐστεφανωμένον*] als Glücksbote. — *πάντων*] Gen. causae resp. relationis.

20. *ὅτι μέν*] Der Gegensatz *τοῖς δὲ Λακεδαιμονίοις οὐκ ἐβοήθουν* ist unterdrückt. — *ξένια*] gastliche Bewirtung am Staatsherd im Prytaneum wie sie sonst Gesandten und Ehrengästen zuteil wird. — *Ἰάσονα σύμμαχον*] vgl. 1, 10.

21. *ἐπλήρου*] T. de conatu, nur zum Schein, um dadurch das *πεζῇ διαπορεύεσθαι* zu ermöglichen. — *συλλαβών*] in der eigentlichen Bedeutung. — *ἀκηρύκτῳ*] vgl. Anab. III, 3, 5. Der Abbruch der parlamentarischen Unterhandlungen zeugt von der Hartnäckigkeit des Krieges. — *πολέμῳ*] *πρὸς αὐτόν*. — *διεπορεύθη*] *διὰ τῆς Φωκίδος*. — *ὀφθεὶς ... ἀγγελθείς*] nicht perfektiv, sondern mehr explikativ „wobei“. — *πορεύοιτο*] durativ. — *τι*] eine feindliche Macht; übrigens stand die Hauptmacht der Phocier im spart. Heere. — *δῆλον ποιῶν*] „den Beweis liefern“, näml. zu der folgenden pragmatischen Bemerkung.

εἴη ἐπιτίθεσθαι τοῖς Λακεδαιμονίοις, ἄνωθεν μὲν ἐκεῖνον σὺν τῷ
ξενικῷ, σφᾶς δὲ ἀντιπροσώπους, ἀπέτρεπεν αὐτοὺς ὁ Ἰάσων διδά-
σκων, ὡς καλοῦ ἔργου γεγενημένου οὐκ ἄξιον αὐτοῖς εἴη διακινδυ-
νεῦσαι, ὥστε ἢ ἔτι μείζω καταπρᾶξαι ἢ στερηθῆναι καὶ τῆς γε-
23 γενημένης νίκης. οὐχ ὁρᾶτε, ἔφη, ὅτι καὶ ὑμεῖς, ἐπεὶ ἐν ἀνάγκῃ
ἐγένεσθε, ἐκρατήσατε; οἴεσθαι οὖν χρὴ καὶ Λακεδαιμονίους ἄν, εἰ
ἀναγκάζοιντο ἐκγενέσθαι τοῦ ζῆν, ἀπονοηθέντας διαμάχεσθαι. καὶ
ὁ θεὸς δέ, ὡς ἔοικε, πολλάκις χαίρει τοὺς μὲν μικροὺς μεγάλους
24 ποιῶν, τοὺς δὲ μεγάλους μικρούς. τοὺς μὲν οὖν Θηβαίους τοιαῦτα
λέγων ἀπέτρεπε τοῦ διακινδυνεύειν· τοὺς δ' αὖ Λακεδαιμονίους
ἐδίδασκεν, οἷον μὲν εἴη ἡττημένον στράτευμα, οἷον δὲ νενικηκός.
εἰ δὲ ἐπιλαθέσθαι, ἔφη, βούλεσθε τὸ γεγενημένον πάθος, συμ-
βουλεύω ἀναπνεύσαντας καὶ ἀναπαυσαμένους καὶ μείζους γεγενη-
μένους τοῖς ἀηττήτοις οὕτως εἰς μάχην ἰέναι. νῦν δέ, ἔφη,
εὖ ἴστε, ὅτι καὶ τῶν συμμάχων ὑμῖν εἰσὶν οἳ διαλέγονται περὶ
φιλίας τοῖς πολεμίοις· ἀλλὰ ἐκ παντὸς τρόπου πειρᾶσθε σπον-
δὰς λαβεῖν. ταῦτα δ', ἔφη, ἐγὼ προθυμοῦμαι, σῶσαι ὑμᾶς βου-
λόμενος διά τε τὴν τοῦ πατρὸς φιλίαν πρὸς ὑμᾶς καὶ διὰ τὸ
25 προξενεῖν ὑμῶν. ἔλεγε μὲν οὖν τοιαῦτα, ἔπραττε δ' ἴσως, ὅπως
διάφοροι καὶ οὗτοι ἀλλήλοις ὄντες ἀμφότεροι ἐκείνου δέοιντο.
οἱ μέντοι Λακεδαιμόνιοι ἀκούσαντες αὐτοῦ πράττειν περὶ τῶν
σπονδῶν ἐκέλευον· ἐπεὶ δὲ ἀπηγγέλθη, ὅτι εἴησαν αἱ σπονδαί,

22. *ἐπιτίθεσθαι*] *στρατοπεδευομένοις.* — *λεγόντων*] Gen. absol. trotz *αὐτούς*, vgl. zu V, 3, 13. — *ἄνωθεν*] Das spartan. Lager befand sich am nördl. Bergabhang, vgl. § 14. — *σφᾶς*] indir. Reflexiv. Wer ist also zu verstehen? — *καλοῦ ἔργου γεγ.*] Die kausale Partizipialkonstr. fällt mit dem zu *ἄξιον* erforderlichen Gen. relationis zusammen; gemeint ist der Sieg bei Leuktra. — *ἄξιον*] „angemessen". — *ὥστε*] mit Infin. hier notwendig erwartete Folge.

23. *ἀνάγκῃ*] die Notlage bei Leuktra. — *ἐκγενέσθαι τοῦ ζῆν*] *e vita discedere*, erg. vorher *ἢ κρατῆσαι ἤ.* — *διαμάχεσθαι*] entscheidend. — *ὁ θεός*] generell = *οἱ θεοί.* — *τοὺς μικρούς*] ähnlicher Gedanke Anab. III, 2, 10.

24. *διακινδυνεύειν*] wie *διαμάχεσθαι* § 23. — *αὖ*] „anderseits". — *οἷον*] das Relat. für das Interrog. vgl. 1, 8. — *ἐπιλαθέσθαι*] mit Acc. Constructio ad sensum = *ἄκυρον ποιῆσαι.* — *οὕτως*] epanaleptisch, wozu? — *συμμάχων*] zur Sache vgl. § 15. — *ἀλλά*] exhortativ „vielmehr". — *προξενεῖν*] vgl. V, 4, 22. — *τοῦ πατρός*] Lykophron.

25. *διάφοροι*] vgl. zu V, 2, 25. — *καὶ οὗτοι*] Gegens. *ὥσπερ ἄλλοι Ἕλληνες.* — *ἐκείνου*] objektiver als das eigentlich erforderliche Reflexiv *ἑαυτοῦ.* — *πράττειν*] *αὐτόν.* — *εἴησαν*] *δεχομένων τῶν Θηβαίων.* — *συνεσκευ-*

παρήγγειλαν οἱ πολέμαρχοι δειπνήσαντας συνεσκευάσθαι πάντας,
ὡς τῆς νυκτὸς πορευσομένους, ὅπως ἅμα τῇ ἡμέρᾳ πρὸς τὸν Κι-
θαιρῶνα ἀναβαίνοιεν. ἐπεὶ δ' ἐδείπνησαν, πρὶν καθεύδειν παραγ-
γείλαντες ἀκολουθεῖν ἡγοῦντο εὐθὺς ἀφ' ἑσπέρας τὴν διὰ Κρεύ-
σιος, τῷ λαθεῖν πιστεύοντες μᾶλλον ἢ ταῖς σπονδαῖς. μάλα δὲ 26
χαλεπῶς πορευόμενοι, οἷα δὴ ἐν νυκτί τε καὶ ἐν φόβῳ ἀπιόντες
καὶ χαλεπὴν ὁδόν, εἰς Αἰγόσθενα τῆς Μεγαρικῆς ἀφικνοῦνται.
ἐκεῖ δὲ περιτυγχάνουσι τῷ μετὰ Ἀρχιδάμου στρατεύματι. ἔνθα
δὴ ἀναμείνας, ἕως καὶ οἱ σύμμαχοι πάντες παρεγένοντο, ἀπῆγε
πᾶν ὁμοῦ τὸ στράτευμα μέχρι Κορίνθου· ἐκεῖθεν δὲ τοὺς μὲν
συμμάχους ἀφῆκε, τοὺς δὲ πολίτας οἴκαδε ἀπήγαγεν.

Ὁ μέντοι Ἰάσων ἀπιὼν διὰ τῆς Φωκίδος Ὑαμπολιτῶν μὲν 27
τό τε προάστειον εἷλε καὶ τὴν χώραν ἐπόρθησε καὶ ἀπέκτεινε
πολλούς· τὴν δ' ἄλλην Φωκίδα διῆλθεν ἀπραγμόνως. ἀφικόμενος
δὲ εἰς Ἡράκλειαν κατέβαλε τὸ Ἡρακλεωτῶν τεῖχος, δῆλον ὅτι οὐ
τοῦτο φοβούμενος, μή τινες ἀναπεπταμένης ταύτης τῆς παρόδου
πορεύσοιντο ἐπὶ τὴν ἐκείνου δύναμιν, ἀλλὰ μᾶλλον ἐνθυμούμενος,
μή τινες τὴν Ἡράκλειαν ἐπὶ στενῷ οὖσαν καταλαβόντες εἴργοιεν
αὐτόν, εἴ ποι βούλοιντο τῆς Ἑλλάδος πορεύεσθαι. ἐπεὶ δὲ ἀπῆλθε 28
πάλιν εἰς τὴν Θετταλίαν, μέγας μὲν ἦν καὶ διὰ τὸ τῷ νόμῳ Θετ-
ταλῶν ταγὸς καθεστάναι καὶ διὰ τὸ μισθοφόρους πολλοὺς τρέφειν
περὶ αὐτὸν καὶ πεζοὺς καὶ ἱππέας, καὶ τούτους ἐκπεπονημένους

άσθαι] beachte das Tempus, „das Gepäck fertig halten". — *πρὶν καθεύδειν ... εὐθὺς ἀφ' ἑσπέρας*] Gegens. vorher *τῆς νυκτός* sc. *μέσης*. Der Entschlufs wird also rücksichtlich des Wegs wie der Zeit sofort geändert, um die Thebaner zu täuschen.

26. *οἷα δή*] = *ἅτε*. — *ἀναμείνας*] Subjektswechsel. — *ὁμοῦ*] räumlich vereint. — *πολίτας*] gewöhnlich in dieser Verbindung *τὸ πολιτικόν*, vgl. V, 4, 41.

27. *Ὑάμπολις*] Stadt im NO. von Phocis. — *Ἡράκλεια*] *ἡ Τραχινία* im NW. von Phocis, vgl. § 9. — *τεῖχος*] befestigte Stadt. — *οὐ τοῦτο φοβούμενος ... ἀλλὰ μᾶλλον ἐνθυμούμενος*] kein Gegensatz der Partizipia im Sinne von „nicht ... sondern", sondern *ἐνθυμούμενος* steht allein kausal zu *κατέβαλε*, während *οὐ φοβούμενος* untergeordnete Nebenbemerkung ist „ohne dabei besorgt zu sein, vielmehr lediglich". — *παρόδου*] Engpafs bei Thermopylä am malischen Meerbusen. — *μή ... πορεύσοιντο*] natürlich nicht Final- sondern indir. Fragesatz, *μή* = ob nicht etwa, nach *φοβούμενος* prägnant = *φοβούμενος σκοπῶν*; dagegen steht *μή ... εἴργοιεν* final. — *ἐπὶ στενῷ*] vgl. vorher *παρόδου*. — *εἰ ... πορεύεσθαι*] gemäfs den 1, 10 erwähnten Plänen.

28. *τῷ νόμῳ*] durch gesetzliche Wahl. — *ταγός*] vgl. 1, 18. — *ἐκπε-*

ὡς ἂν κράτιστοι εἶεν· ἔτι δὲ μείζων καὶ διὰ τὸ συμμάχους πολ-
λοὺς τοὺς μὲν ἤδη εἶναι αὐτῷ, τοὺς δὲ καὶ ἔτι βούλεσθαι γίγνε-
σθαι. μέγιστος δ᾽ ἦν τῶν καθ᾽ αὑτὸν τῷ μηδ᾽ ὑφ᾽ ἑνὸς εὐκατα-
29 φρόνητος εἶναι. ἐπιόντων δὲ Πυθίων* παρήγγειλε μὲν ταῖς πό-
λεσι βοῦς καὶ οἶς καὶ αἶγας καὶ ὗς παρασκευάζεσθαι ὡς εἰς τὴν
θυσίαν· καὶ ἔφασαν πάνυ μετρίως ἑκάστῃ πόλει ἐπαγγελλομένων
γενέσθαι βοῦς μὲν οὐκ ἐλάττους χιλίων, τὰ δὲ ἄλλα βοσκήματα
πλείω ἢ μύρια. ἐκήρυξε δὲ καὶ νικητήριον χρυσοῦν στέφανον ἔσε-
σθαι, εἴ τις τῶν πόλεων βοῦν ἡγεμόνα κάλλιστον τῷ θεῷ θρέ-
30 ψειεν. παρήγγειλε δὲ καὶ ὡς στρατευσομένοις εἰς τὸν περὶ τὰ
Πύθια χρόνον Θετταλοῖς παρασκευάζεσθαι· διενοεῖτο γάρ, ὡς
ἔφασαν, καὶ τὴν πανήγυριν τῷ θεῷ καὶ τοὺς ἀγῶνας αὐτὸς δια-
τιθέναι. περὶ μέντοι τῶν ἱερῶν χρημάτων ὅπως μὲν διενοεῖτο, ἔτι
καὶ νῦν ἄδηλον· λέγεται δὲ ἐπερομένων τῶν Δελφῶν, τί χρὴ ποιεῖν,
ἐὰν λαμβάνῃ τῶν τοῦ θεοῦ χρημάτων, ἀποκρίνασθαι τὸν θεόν, ὅτι
31 αὐτῷ μελήσει. ὁ δ᾽ οὖν ἀνὴρ τηλικοῦτος ὢν καὶ τοσαῦτα καὶ
τοιαῦτα διανοούμενος, ἐξέτασιν πεποιηκὼς καὶ δοκιμασίαν τοῦ
Φεραίων ἱππικοῦ καὶ ἤδη καθήμενος καὶ ἀποκρινόμενος, εἴ τις

πονημένους] zur Sache vgl. 1, 5. — *ὡς ἄν*] wie *ὅπως ἄν* in Finalsätzen, um die Eventualität der Absicht schärfer hervorzuheben; gewöhnlich steht ein Bedingungsvordersatz dabei oder ist leicht zu ergänzen. — *μέγας ... μείζων ... μέγιστος*] Klimax zur Hervorhebung seiner Macht, seines Einflusses, seiner Achtung. — *τῶν καθ᾽ αὑτόν*] Zeitgenossen.

29. *Πυθίων*] die pythischen Spiele wurden zu Ehren des Apollo in Delphi trieterisch (tertio quoque anno in jeder Olympiade) gefeiert, diesmal 370 v. Chr. Xen. knüpft an die Ereignisse d. J. 371 gleich die letzten Schicksale des Jason an. — *ὡς εἰς θυσίαν*] analog dem Part. finale *ὡς θυσόμενος*; ähnlich *ὡς εἰς μάχην* u. a. m. — *ἐπαγγελλομένων*] Passiv im Sinn des vorhergehenden *παρήγγειλε* = *imperare*. Das Subjekt des konzessiven Partizipiums ergänze aus den vier vorausgehenden Substantiven. — *βοῦν ἡγεμόνα κάλλιστον*] Breviloquenz statt *β. καλλ. ὥστε ἡγεμόνα γενέσθαι.*

30. *καὶ ὡς στρατ.*] als Gegensatz zu *ὡς εἰς θυσίαν* vorangestellt; J. hatte dazu seine Gründe, weil er in Person (*αὐτός*) als Vertreter der Mehrzahl der zwölf Amphiktyonenstämme sich vorzugsweise die Anordnung und Leitung des Festes anmaſste, vielleicht auch die Tempelgelder anzutasten beabsichtigte. — *καὶ νῦν*] als Xenoph. dies schrieb. — *τῶν χρημάτων*] sc. *μέρος* wie *οἴνου* u. a. im Sinne des französ. article partitif. — *μελήσει*] *τί χρὴ ποιεῖν.*

31. *τηλικοῦτος*] eigentlich „so alt", dann in der Sprache des 4. Jahrh. v. Chr. „so bedeutend", vgl. § 28 *μέγας*. — *τοσαῦτα ... τοιαῦτα*] quantitativ und qualitativ, letzteres in malam partem. — *καθήμενος*] auf einem

δεόμενός του προσίοι, ὑπὸ νεανίσκων ἑπτὰ προσελθόντων ὡς δια-
φερομένων τι ἀλλήλοις ἀποσφάττεται καὶ κατακόπτεται. βοηθη- 32
σάντων δὲ ἐρρωμένως τῶν παραγενομένων δορυφόρων εἷς μὲν ἔτι
τύπτων τὸν Ἰάσονα λόγχῃ πληγεὶς ἀποθνήσκει· ἕτερος δὲ ἀναβαί-
νων ἐφ' ἵππον ἐγκαταληφθεὶς καὶ πολλὰ τραύματα λαβὼν ἀπέ-
θανεν· οἱ δ' ἄλλοι ἀναπηδήσαντες ἐπὶ τοὺς παρεσκευασμένους
ἵππους ἀπέφυγον· ὅποι δὲ ἀφίκοιντο τῶν Ἑλληνίδων πόλεων, ἐν
ταῖς πλείσταις ἐτιμῶντο. ᾧ καὶ δῆλον ἐγένετο, ὅτι ἰσχυρῶς ἔδει-
σαν οἱ Ἕλληνες αὐτὸν μὴ τύραννος γένοιτο.
Ἀποθανόντος μέντοι ἐκείνου Πολύδωρος ἀδελφὸς αὐτοῦ καὶ 33
Πολύφρων ταγοὶ κατέστησαν. καὶ ὁ μὲν Πολύδωρος, πορευομένων
ἀμφοτέρων εἰς Λάρισαν, νύκτωρ καθεύδων ἀποθνήσκει ὑπὸ Πολύ-
φρονος τοῦ ἀδελφοῦ, ὡς ἐδόκει· ὁ γὰρ θάνατος αὐτοῦ ἐξαπιναῖός
τε καὶ οὐκ ἔχων φανερὰν πρόφασιν ἐγένετο. ὁ δ' αὖ Πολύφρων 34
ἦρξε μὲν ἐνιαυτόν, κατεσκευάσατο δὲ τὴν ταγείαν τυραννίδι ὁμοίαν.
ἔν τε γὰρ Φαρσάλῳ τὸν Πολυδάμαντα καὶ ἄλλους τῶν πολιτῶν
ὀκτὼ τοὺς κρατίστους ἀπέκτεινεν ἔκ τε Λαρίσης πολλοὺς φυγάδας
ἐποίησεν. ταῦτα δὲ ποιῶν καὶ οὗτος ἀποθνήσκει ὑπ' Ἀλεξάνδρου,
ὡς τιμωροῦντος τῷ Πολυδώρῳ καὶ τὴν τυραννίδα καταλύοντος.
ἐπεὶ δ' αὐτὸς παρέλαβε τὴν ἀρχήν*, χαλεπὸς μὲν Θετταλοῖς ταγὸς 35
ἐγένετο, χαλεπὸς δὲ Θηβαίοις καὶ Ἀθηναίοις πολέμιος, ἄδικος δὲ
λῃστὴς καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν. τοιοῦτος δ' ὢν καὶ
αὐτὸς αὖ ἀποθνήσκει**, αὐτοχειρίᾳ μὲν ὑπὸ τῶν τῆς γυναικὸς
ἀδελφῶν, βουλῇ δὲ ὑπ' αὐτῆς ἐκείνης. τοῖς τε γὰρ ἀδελφοῖς ἐξήγ- 36

Throne. — ἀποκρινόμενος] Grundbedeutung: „Entscheidung treffen“ dann „Bescheid erteilen“. — προσίοι] iterativ. — ὡς διαφ.] ὥσπερ δ.

32. δορυφόρων] Leibwache des J. — εἷς] τῶν νεανίσκων. — ἀναβαίνων] Part. de conatu. — ὅποι ... τῶν πόλεων] = εἰς ἅστινας τ. π.; vgl. ubi terrarum. — ἀφίκοιντο ... ἐτιμῶντο] iterat. Vorder- und Nachsatz. — αὐτόν] prolept. Attraktion.

33. Πολύφρων] ebenfalls ἀδελφὸς αὐτοῦ, was erst nachher in Betracht gezogen wird. — ταγοὶ κατέστησαν] „nach einander“, komplexiv. Aor. — Λάρισα] St. im SO. von Phthiotis, nahe am Euripus. — πρόφασιν] spezieller als αἰτίαν „Anlafs“.

34. ταγείαν] gesetzliche Feldhauptmannschaft. — Πολυδάμαντα] vgl. 1, 2 ff. — τοὺς κρατίστους] im D. partitiv. — ὡς] „angeblich“. — τιμωροῦντος ... καταλύοντος] Part. de conatu. — τιμωρεῖν τινι] = τιμωρεῖσθαί (τινα) ὑπέρ τινος.

35. αὐτός] Ἀλέξανδρος. — βουλῇ] deutet auf den intellektuellen Mörder.

36. ἐξήγγειλ.] wieder Subjektswechsel,

ὡς ἂν κράτιστοι εἶεν· ἔτι δὲ μείζων καὶ διὰ τὸ συμμάχους πολλοὺς τοὺς μὲν ἤδη εἶναι αὐτῷ, τοὺς δὲ καὶ ἔτι βούλεσθαι γίγνεσθαι. μέγιστος δ᾽ ἦν τῶν καθ᾽ αὐτὸν τῷ μηδ᾽ ὑφ᾽ ἑνὸς εὐκαταφρόνητος εἶναι.
29 φρόνητος εἶναι. ἐπιόντων δὲ Πυθίων* παρήγγειλε μὲν ταῖς πόλεσι βοῦς καὶ οἶς καὶ αἶγας καὶ ὗς παρασκευάζεσθαι ὡς εἰς τὴν θυσίαν· καὶ ἔφασαν πάνυ μετρίως ἑκάστῃ πόλει ἐπαγγελλομένων γενέσθαι βοῦς μὲν οὐκ ἐλάττους χιλίων, τὰ δὲ ἄλλα βοσκήματα πλείω ἢ μύρια. ἐκήρυξε δὲ καὶ νικητήριον χρυσοῦν στέφανον ἔσεσθαι, εἴ τις τῶν πόλεων βοῦν ἡγεμόνα κάλλιστον τῷ θεῷ θρέψειεν.
30 παρήγγειλε δὲ καὶ ὡς στρατευσομένοις εἰς τὸν περὶ τὰ Πύθια χρόνον Θετταλοῖς παρασκευάζεσθαι· διενοεῖτο γάρ, ὡς ἔφασαν, καὶ τὴν πανήγυριν τῷ θεῷ καὶ τοὺς ἀγῶνας αὐτὸς διατιθέναι. περὶ μέντοι τῶν ἱερῶν χρημάτων ὅπως μὲν διενοεῖτο, ἔτι καὶ νῦν ἄδηλον· λέγεται δὲ ἐπερομένων τῶν Δελφῶν, τί χρὴ ποιεῖν, ἐὰν λαμβάνῃ τῶν τοῦ θεοῦ χρημάτων, ἀποκρίνασθαι τὸν θεόν, ὅτι
31 αὐτῷ μελήσει. ὁ δ᾽ οὖν ἀνὴρ τηλικοῦτος ὢν καὶ τοσαῦτα καὶ τοιαῦτα διανοούμενος, ἐξέτασιν πεποιηκὼς καὶ δοκιμασίαν τοῦ Φεραίων ἱππικοῦ καὶ ἤδη καθήμενος καὶ ἀποκρινόμενος, εἴ τις

πονημένους] zur Sache vgl. 1, 5. — *ὡς ἂν*] wie *ὅπως ἂν* in Finalsätzen, um die Eventualität der Absicht schärfer hervorzuheben; gewöhnlich steht ein Bedingungsvordersatz dabei oder ist leicht zu ergänzen. — *μέγας ... μείζων ... μέγιστος*] Klimax zur Hervorhebung seiner Macht, seines Einflusses, seiner Achtung. — *τῶν καθ᾽ αὐτόν*] Zeitgenossen.

29. *Πυθίων*] die pythischen Spiele wurden zu Ehren des Apollo in Delphi trieterisch (tertio quoque anno in jeder Olympiade) gefeiert, diesmal 370 v. Chr. Xen. knüpft an die Ereignisse d. J. 371 gleich die letzten Schicksale des Jason an. — *ὡς εἰς θυσίαν*] analog dem Part. finale *ὡς θυσόμενος*; ähnlich *ὡς εἰς μάχην* u. a. m. — *ἐπαγγελλομένων*] Passiv im Sinn des vorhergehenden *παρήγγειλε* = *imperare*. Das Subjekt des konzessiven Partizipiums ergänze aus den vier vorausgehenden Substantiven. — *βοῦν ἡγεμόνα κάλλιστον*] Breviloquenz statt *β. καλλ. ὥστε ἡγεμόνα γενέσθαι*.

30. *καὶ ὡς στρατ.*] als Gegensatz zu *ὡς εἰς θυσίαν* vorangestellt; J. hatte dazu seine Gründe, weil er in Person (*αὐτός*) als Vertreter der Mehrzahl der zwölf Amphiktyonenstämme sich vorzugsweise die Anordnung und Leitung des Festes anmafste, vielleicht auch die Tempelgelder anzutasten beabsichtigte. — *καὶ νῦν*] als Xenoph. dies schrieb. — *τῶν χρημάτων*] sc. *μέρος* wie *οἴνου* u. a. im Sinne des französ. article partitif. — *μελήσει*] *τί χρὴ ποιεῖν*.

31. *τηλικοῦτος*] eigentlich „so alt", dann in der Sprache des 4. Jahrh. v. Chr. „so bedeutend", vgl. § 28 *μέγας*. — *τοσαῦτα ... τοιαῦτα*] quantitativ und qualitativ, letzteres in malam partem. — *καθήμενος*] auf einem

δεόμενός του προσίοι, ὑπὸ νεανίσκων ἑπτὰ προσελθόντων ὡς δια-
φερομένων τι ἀλλήλοις ἀποσφάττεται καὶ κατακόπτεται. βοηθη- 32
σάντων δὲ ἐρρωμένως τῶν παραγενομένων δορυφόρων εἷς μὲν ἔτι
τύπτων τὸν Ἰάσονα λόγχῃ πληγεὶς ἀποθνήσκει· ἕτερος δὲ ἀναβαί-
νων ἐφ' ἵππον ἐγκαταληφθεὶς καὶ πολλὰ τραύματα λαβὼν ἀπέ-
θανεν· οἱ δ' ἄλλοι ἀναπηδήσαντες ἐπὶ τοὺς παρεσκευασμένους
ἵππους ἀπέφυγον· ὅποι δὲ ἀφίκοιντο τῶν Ἑλληνίδων πόλεων, ἐν
ταῖς πλείσταις ἐτιμῶντο. ᾧ καὶ δῆλον ἐγένετο, ὅτι ἰσχυρῶς ἔδει-
σαν οἱ Ἕλληνες αὐτὸν μὴ τύραννος γένοιτο.
Ἀποθανόντος μέντοι ἐκείνου Πολύδωρος ἀδελφὸς αὐτοῦ καὶ 33
Πολύφρων ταγοὶ κατέστησαν. καὶ ὁ μὲν Πολύδωρος, πορευομένων
ἀμφοτέρων εἰς Λάρισαν, νύκτωρ καθεύδων ἀποθνήσκει ὑπὸ Πολύ-
φρονος τοῦ ἀδελφοῦ, ὡς ἐδόκει· ὁ γὰρ θάνατος αὐτοῦ ἐξαπιναῖός
τε καὶ οὐκ ἔχων φανερὰν πρόφασιν ἐγένετο. ὁ δ' αὖ Πολύφρων 34
ἦρξε μὲν ἐνιαυτόν, κατεσκευάσατο δὲ τὴν ταγείαν τυραννίδι ὁμοίαν.
ἔν τε γὰρ Φαρσάλῳ τὸν Πολυδάμαντα καὶ ἄλλους τῶν πολιτῶν
ὀκτὼ τοὺς κρατίστους ἀπέκτεινεν ἔκ τε Λαρίσης πολλοὺς φυγάδας
ἐποίησεν. ταῦτα δὲ ποιῶν καὶ οὗτος ἀποθνήσκει ὑπ' Ἀλεξάνδρου,
ὡς τιμωροῦντος τῷ Πολυδώρῳ καὶ τὴν τυραννίδα καταλύοντος.
ἐπεὶ δ' αὐτὸς παρέλαβε τὴν ἀρχήν*, χαλεπὸς μὲν Θετταλοῖς ταγὸς 35
ἐγένετο, χαλεπὸς δὲ Θηβαίοις καὶ Ἀθηναίοις πολέμιος, ἄδικος δὲ
λῃστὴς καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν. τοιοῦτος δ' ὢν καὶ
αὐτὸς αὖ ἀποθνήσκει**, αὐτοχειρίᾳ μὲν ὑπὸ τῶν τῆς γυναικὸς
ἀδελφῶν, βουλῇ δὲ ὑπ' αὐτῆς ἐκείνης. τοῖς τε γὰρ ἀδελφοῖς ἐξήγ- 36

Throne. — ἀποκρινόμενος] Grundbedeutung: „Entscheidung treffen“ dann „Bescheid erteilen“. — προσίοι] iterativ. — ὡς διαφ.] ὥσπερ δ.

32. δορυφόρων] Leibwache des J. — εἷς] τῶν νεανίσκων. — ἀναβαίνων] Part. de conatu. — ὅποι ... τῶν πόλεων] = εἰς ἅστινας τ. π.; vgl. *ubi terrarum*. — ἀφίκοιντο ... ἐτιμῶντο] iterat. Vorder- und Nachsatz. — αὐτόν] prolept. Attraktion.

33. Πολύφρων] ebenfalls ἀδελφὸς αὐτοῦ, was erst nachher in Betracht gezogen wird. — ταγοὶ κατέστησαν] „nach einander“, komplexiv. Aor. — Λάρισα] St. im SO. von Phthiotis, nahe am Euripus. — πρόφασιν] spezieller als αἰτίαν „Anlaſs“.

34. ταγείαν] gesetzliche Feldhauptmannschaft. — Πολυδάμαντα] vgl. 1, 2 ff. — τοὺς κρατίστους] im D. partitiv. — ὡς] „angeblich“. — τιμωροῦντος ... καταλύοντος] Part. de conatu. — τιμωρεῖν τινι] = τιμωρεῖσθαί (τινα) ὑπέρ τινος.

35. αὐτός] Ἀλέξανδρος. — βουλῇ] deutet auf den intellektuellen Mörder.

36. ἐξήγγειλ.] wieder Subjektswechsel,

γειλεν, ὡς Ἀλέξανδρος ἐπιβουλεύοι αὐτοῖς, καὶ ἔκρυψεν αὐτοὺς ἔνδον ὄντας ὅλην τὴν ἡμέραν, καὶ δεξαμένη μεθύοντα τὸν Ἀλέξανδρον ἐπεὶ κατεκοίμισεν, ὁ μὲν λύχνος ἐκάετο, τὸ δὲ ξίφος αὐτοῦ ἐξήνεγκεν. ὡς δ' ᾔσθετο ὀκνοῦντας εἰσιέναι ἐπὶ τὸν Ἀλέξανδρον τοὺς ἀδελφούς, εἶπεν, ὡς, εἰ μὴ ἤδη πράξοιεν, ἐξεγερεῖ αὐτόν. ὡς δ' εἰσῆλθον, ἐπισπάσασα τὴν θύραν εἴχετο τοῦ ῥόπτρου, ἕως ἀπέ-
37 θανεν ὁ ἀνήρ. ἡ δὲ ἔχθρα λέγεται αὐτῇ πρὸς τὸν ἄνδρα γενέσθαι ὑπὸ μέν τινων, ὡς, ἐπεὶ ἔδησε τὰ ἑαυτοῦ παιδικὰ ὁ Ἀλέξανδρος, νεανίσκον ὄντα καλόν, δεηθείσης αὐτῆς λῦσαι ἐξαγαγὼν αὐτὸν ἀπέσφαξεν· οἱ δέ τινες, ὡς, ἐπεὶ παῖδες αὐτῷ οὐκ ἐγίγνοντο ἐκ ταύτης, τότε πέμπων εἰς Θήβας ἐμνήστευε τὴν Ἰάσονος γυναῖκα λαβεῖν. τὰ μὲν οὖν αἴτια τῆς ἐπιβουλῆς ὑπὸ τῆς γυναικὸς οὕτω λέγεται· τῶν δὲ ταῦτα πραξάντων ἄχρι οὗ ὅδε ὁ λόγος ἐγράφετο Τισίφονος πρεσβύτατος ὢν τῶν ἀδελφῶν τὴν ἀρχὴν εἶχεν.

5 Καὶ τὰ μὲν Θετταλικά, ὅσα περὶ Ἰάσονα ἐπράχθη καὶ μετὰ τὸν ἐκείνου θάνατον μέχρι τῆς Τισιφόνου ἀρχῆς δεδήλωται· νῦν δ' ἐπάνειμι ἔνθεν ἐπὶ ταῦτα ἐξέβην. ἐπεὶ γὰρ Ἀρχίδαμος ἐκ τῆς ἐπὶ Λεῦκτρα βοηθείας ἀπήγαγε τὸ στράτευμα †, ἐνθυμηθέντες οἱ Ἀθηναῖοι, ὅτι οἱ Πελοποννήσιοι ἔτι οἴονται χρῆναι ἀκολουθεῖν

ἡ γυνή. — ἔνδον] ἐντὸς τῆς οἰκίας. — δεξαμένη] subordin. dem folgenden ἐπεὶ κατεκοίμισε. — ὁ μὲν ... τὸ δέ] im D. subordinierter Satz. — ἐξήνεγκεν] ἐκ τοῦ οἰκήματος; das vorige Subjekt wird wieder aufgenommen. — εἰ ... πράξοιεν] Opt. Or. obl. — ῥόπτρου] „Thürring".

37. τὰ παιδικά] Abstract. pro concreto „der Liebling". — ὡς ἐπεί] zwei Kausalsätze einander subord. — δεηθείσης] konzessiv. — ἐξαγαγών] ἐξήγαγε μὲν ἐκ τῶν δεσμῶν ἀλλά. — οἱ δέ τινες] λέγουσι. — τότε] ὅτε ἔχθρα ἐγίγνετο; beachte die Imperfekta, während für die erste Annahme der Aorist steht ἔδησε ... ἀπέσφαξεν.

Kap. 5. § 1/3: Bündnis der Athener mit den peloponnesischen Staaten (371 v. Chr.) — § 4/5: Wiederherstellung der Stadt Mantinea (370). — § 6/9: Sieg der Volkspartei in Tegea (370). — § 10/21: Feldzüge des Agesilaos gegen Mantinea und Angriff der Mantineer auf Orchomenos (370). — § 22/32: Zug der Arkader gegen Heräa. Erster Einfall des Epaminondas in den Peloponnes und Sparta (370). — § 33/48: Beratungen in Athen. Reden der lacedämonischen Gesandten und ihre Wirkung. Reden des Korinthiers Kleiteles und des Phliasiers Prokles (370). — § 49/52: Iphikrates im Peloponnes. Rückkehr der Thebaner (370).

1. ἐπάνειμι ... ἐξέβην] ähnlicher Übergang 1, 19. — ἀπήγαγε] vgl. 4, 26. — οἱ Πελοποννήσιοι] = οἱ σύμμαχοι τῶν Σπαρτιατῶν. — οἴονται] Die Or. obl. bewahrt das Tempus der Or. recta. — χρῆναι ἀκολουθεῖν] wie

καὶ οὔπω διακέοιντο οἱ Λακεδαιμόνιοι ὥσπερ τοὺς Ἀθηναίους διέθεσαν, μεταπέμπονται τὰς πόλεις ὅσαι βούλοιντο τῆς εἰρήνης μετέχειν, ἣν βασιλεὺς κατέπεμψεν. ἐπεὶ δὲ συνῆλθον, δόγμα ἐποι- 2
ήσαντο μετὰ τῶν κοινωνεῖν βουλομένων ὀμόσαι τόνδε τὸν ὅρκον· Ἐμμενῶ ταῖς σπονδαῖς, ἃς βασιλεὺς κατέπεμψε, καὶ τοῖς ψηφίσμασι τοῖς Ἀθηναίων καὶ τῶν συμμάχων. ἐὰν δέ τις στρατεύῃ ἐπί τινα πόλιν τῶν ὀμοσασῶν τόνδε τὸν ὅρκον, βοηθήσω παντὶ σθένει. οἱ μὲν οὖν ἄλλοι πάντες ἔχαιρον τῷ ὅρκῳ· Ἠλεῖοι δὲ ἀντέλεγον, ὡς οὐ δέοι αὐτονόμους ποιεῖν οὔτε Μαργανεῖς οὔτε Σκιλλουντίους οὔτε Τριφυλίους· σφετέρας γὰρ εἶναι ταύτας τὰς 3
πόλεις. οἱ δ᾽ Ἀθηναῖοι καὶ οἱ ἄλλοι ψηφισάμενοι, ὥσπερ βασιλεὺς ἔγραψεν, αὐτονόμους εἶναι ὁμοίως καὶ μικρὰς καὶ μεγάλας πόλεις, ἐξέπεμψαν τοὺς ὁρκωτὰς καὶ ἐκέλευσαν τὰ μέγιστα τέλη ἐν ἑκάστῃ πόλει ὁρκῶσαι. καὶ ὤμοσαν πάντες πλὴν Ἠλείων.

Ἐξ ὧν δὴ καὶ οἱ Μαντινεῖς, ὡς ἤδη αὐτόνομοι παντάπασιν ὄντες, συνῆλθόν τε πάντες καὶ ἐψηφίσαντο μίαν πόλιν τὴν Μαντίνειαν ποιεῖν καὶ τειχίζειν τὴν πόλιν. οἱ δ᾽ αὖ Λακεδαιμόνιοι 4
ἡγοῦντο*, εἰ τοῦτο ἄνευ τῆς σφετέρας γνώμης ἔσοιτο, χαλεπὸν ἔσεσθαι. πέμπουσιν οὖν Ἀγησίλαον πρεσβευτὴν πρὸς τοὺς Μαντινέας, ὅτι ἐδόκει πατρικὸς φίλος αὐτοῖς εἶναι. ἐπεὶ δὲ ἀφίκετο πρὸς αὐτούς, τὸν μὲν δῆμον τῶν Μαντινέων οἱ ἄρχοντες οὐκ ἤθελον συλλέξαι αὐτῷ, πρὸς δὲ σφᾶς ἐκέλευον λέγειν, ὅτου δέοιτο. ὁ δὲ ὑπισχνεῖτο αὐτοῖς, ἐὰν νῦν ἐπίσχωσι τῆς τειχίσεως, ποιήσειν·

---

das aus dem Vorwurf 3, 7, dem Schwur der Spartaner im Namen der *σύμμαχοι* 3, 19 und der Heeresfolge 4, 18 erhellt. — *διακέοιντο*] Perf. Pass. zu *διατιθέναι*; Moduswechsel. — *ὥσπερ*] „wie sie doch ihrerseits". — *διέθεσαν*] zum Gewähren der vollen Selbständigkeit der *σύμμαχοι*, vgl. 3, 19 *ἕκαστοι*. — *μεταπέμπονται*] zu einem Kongresse. — *εἰρήνης*] des Ant. vgl. V, 1, 28. 30 neu garantiert, vgl. VI, 3, 18.

2. *ὀμόσαι*] statt *τοῦ ὀμόσαι*, Constr. ad sensum wie V, 4, 27. — *συμμάχων*] der nunmehr auf dem Kongresse vereinten Stämme. — *οἱ ἄλλοι πάντες*] also auch die Spartaner, vgl. § 36 *κατὰ τοὺς ὅρκους*. — *Μάργανα, Σκιλλοῦς, Τριφυλία*] Städte in Elis, seit 397 (III, 2, 30) unabhängig, seit 371 wieder unterworfen.

3. *τὰ μέγιστα τέλη*] „die höchsten Spitzen der Behörden". — *ἐν ἑκάστῃ πόλει*] also im Gegensatz zu früher, 3, 19. — *δή*] natürliche Folge. — *μίαν πόλιν*] nach der Auflösung in vier Ortschaften V, 2, 5.

4. *πατρικὸς φίλος*] vgl. V, 2, 3. — *ἄρχοντες*] bei demokrat. Verfassung. — *οὐκ ἤθελον*] *recusare*, vgl. V, 1, 16. — *ἐπίσχωσι*] sc. *ἑαυτούς*; *ἐπέχειν* durch

ὥστε μετὰ τῆς Λακεδαίμονος γνώμης καὶ μὴ δαπανηρῶς τειχι-
5 σθῆναι τὸ τεῖχος. ἐπεὶ δὲ ἀπεκρίναντο, ὅτι ἀδύνατον εἴη ἐπισχεῖν,
δόγματος γεγενημένου πάσῃ τῇ πόλει ἤδη τειχίζειν, ἐκ τούτου ὁ
μὲν Ἀγησίλαος ἀπῄει ὀργιζόμενος· στρατεύειν γε μέντοι ἐπ' αὐ-
τοὺς οὐ δυνατὸν ἐδόκει εἶναι ἐπ' αὐτονομίᾳ τῆς εἰρήνης γεγενη-
μένης. τοῖς δὲ Μαντινεῦσιν ἔπεμπον μὲν καὶ τῶν Ἀρκαδικῶν
πόλεών τινες συντειχιοῦντας, οἱ δὲ Ἠλεῖοι καὶ ἀργυρίου τρία τά-
λαντα συνεβάλοντο αὐτοῖς εἰς τὴν περὶ τὸ τεῖχος δαπάνην. καὶ
οἱ μὲν Μαντινεῖς περὶ ταῦτα ἦσαν.

6 Τῶν δὲ Τεγεατῶν οἱ μὲν περὶ τὸν Καλλίβιον καὶ Πρόξενον
συνῆγον ἐπὶ τὸ συνιέναι τε πᾶν τὸ Ἀρκαδικόν, καὶ ὅ,τι νικῴη ἐν
τῷ κοινῷ, τοῦτο κύριον εἶναι καὶ τῶν πόλεων· οἱ δὲ περὶ τὸν
Στάσιππον ἔπραττον ἐᾶν τε κατὰ χώραν τὴν πόλιν καὶ τοῖς πα-
7 τρίοις νόμοις χρῆσθαι. ἡττώμενοι δὲ οἱ περὶ τὸν Πρόξενον καὶ
Καλλίβιον ἐν τοῖς θεαροῖς, νομίσαντες, εἰ συνέλθοι ὁ δῆμος, πολὺ
ἂν τῷ πλήθει κρατῆσαι, ἐκφέρονται τὰ ὅπλα. ἰδόντες δὲ τοῦτο οἱ
περὶ τὸν Στάσιππον καὶ αὐτοὶ ἀνθωπλίσαντο καὶ ἀριθμῷ μὲν
οὐκ ἐλάττους ἐγένοντο· ἐπεὶ μέντοι εἰς μάχην ὥρμησαν, τὸν μὲν
Πρόξενον καὶ ἄλλους ὀλίγους μετ' αὐτοῦ ἀποκτείνουσι, τοὺς δ'
ἄλλους τρεψάμενοι οὐκ ἐδίωκον· καὶ γὰρ τοιοῦτος ὁ Στάσιππος
8 ἦν οἷος μὴ βούλεσθαι πολλοὺς ἀποκτιννύναι τῶν πολιτῶν. οἱ δὲ
περὶ τὸν Καλλίβιον ἀνακεχωρηκότες ὑπὸ τὸ πρὸς Μαντίνειαν
τεῖχος καὶ τὰς πύλας, ἐπεὶ οὐκέτι αὐτοῖς οἱ ἐναντίοι ἐπεχείρουν,
ἡσυχίαν εἶχον ἠθροισμένοι. καὶ πάλαι μὲν ἐπεπόμφεσαν ἐπὶ τοὺς
Μαντινέας βοηθεῖν κελεύοντες· πρὸς δὲ τοὺς περὶ Στάσιππον
διελέγοντο περὶ συναλλαγῶν. ἐπεὶ δὲ καταφανεῖς ἦσαν οἱ Μαν-

„Unterbrechung“ hindern. — *καὶ μή*] *καί* verbindet hier zwei adverbielle Ausdrücke ungleicher Form.

5. *τῇ πόλει*] Dat. graecus. — *ἐπ' αὐτονομίᾳ*] betonte Stellung. — *συντειχιοῦντας*] ἄνδρας οἳ συντειχιοῦσιν.

6. *συνῆγον*] T. de conatu. Die Bundesstadt Megalopolis wurde hierbei bereits geplant. — *συνιέναι*] zweideutige Form. — *ὅ,τι νικῴη*] bildlich; ἥτις γνώμη ν. — *πόλεων*] Gen. obj. — *Στάσιππον*] vgl. 4, 18. — *ἔπραττον*] διεπράττοντο. — *κατὰ χώραν*] „an Ort und Stelle“, Gegensatz *συνοικισμός*.

7. *θεαροῖς*] dorische Form = *θεωροῖς*, d. i. die den spartan. Ephoren analoge Aufsichtsbehörde in Tegea. — *τρεψάμενοι*] konzessiv. — *οἷος*] mit Inf. = *ὥστε* mit Inf. „ein Mann danach, daſs“, vgl. 3, 3.

8. *τὰς πύλας*] nach N. also ebenfalls *περὶ Μαντίνειαν*.

τινεῖς προσιόντες, οἱ μὲν αὐτῶν ἀναπηδῶντες ἐπὶ τὸ τεῖχος ἐκέλευον βοηθεῖν τὴν ταχίστην καὶ βοῶντες σπεύδειν διεκελεύοντο· ἄλλοι δὲ ἀνοίγουσι τὰς πύλας αὐτοῖς. οἱ δὲ περὶ τὸν Στάσιππον 9
ὡς ᾔσθοντο τὸ γιγνόμενον, ἐκπίπτουσι κατὰ τὰς ἐπὶ τὸ Παλλάντιον φερούσας πύλας καὶ φθάνουσι πρὶν καταληφθῆναι ὑπὸ τῶν διωκόντων εἰς τὸν τῆς Ἀρτέμιδος νεὼν καταφυγόντες καὶ ἐγκλεισάμενοι ἡσυχίαν εἶχον. οἱ δὲ μεταδιώξαντες ἐχθροὶ αὐτῶν ἀναβάντες ἐπὶ τὸν νεὼν καὶ τὴν ὀροφὴν διελόντες ἔπαιον ταῖς κεραμίσιν. οἱ δ᾽ ἐπεὶ ἔγνωσαν τὴν ἀνάγκην, παύεσθαί τε ἐκέλευον καὶ ἐξιέναι ἔφασαν. οἱ δ᾽ ἐναντίοι ὡς ὑποχειρίους ἔλαβον αὐτούς, δήσαντες καὶ ἀναβαλόντες ἐπὶ τὴν ἁρμάμαξαν ἀπήγαγον εἰς Τεγέαν. ἐκεῖ δὲ μετὰ τῶν Μαντινέων καταγνόντες ἀπέκτειναν.

Τούτων δὲ γιγνομένων ἔφυγον εἰς Λακεδαίμονα τῶν περὶ 10
Στάσιππον Τεγεατῶν περὶ ὀκτακοσίους. μετὰ δὲ ταῦτα τοῖς Λακεδαιμονίοις ἐδόκει βοηθητέον εἶναι κατὰ τοὺς ὅρκους τοῖς τεθνεῶσι τῶν Τεγεατῶν καὶ ἐκπεπτωκόσι· καὶ οὕτω στρατεύουσιν ἐπὶ τοὺς Μαντινέας, ὡς παρὰ τοὺς ὅρκους σὺν ὅπλοις ἐληλυθότων αὐτῶν ἐπὶ τοὺς Τεγεάτας. καὶ φρουρὰν μὲν οἱ ἔφοροι ἔφαινον, Ἀγησίλαον δ᾽ ἐκέλευεν ἡ πόλις ἡγεῖσθαι. οἱ μὲν οὖν ἄλλοι Ἀρ- 11
κάδες εἰς Ἀσέαν συνελέγοντο· Ὀρχομενίων δὲ οὐκ ἐθελόντων κοινωνεῖν τοῦ Ἀρκαδικοῦ διὰ τὴν πρὸς Μαντινέας ἔχθραν, ἀλλὰ καὶ δεδεγμένων εἰς τὴν πόλιν τὸ ἐν Κορίνθῳ συνειλεγμένον ξενικόν, οὗ Πολύτροπος ἦρχεν, ἔμενον οἴκοι οἱ Μαντινεῖς τούτων ἐπιμελόμενοι. Ἡραιεῖς δὲ καὶ Λεπρεᾶται συνεστρατεύοντο τοῖς Λακεδαιμονίοις ἐπὶ τοὺς Μαντινέας. ὁ δὲ Ἀγησίλαος, ἐπεὶ ἐγένετο αὐτῷ τὰ δια- 12

---

9. τὸ γιγνόμενον] „die Sachlage". — Παλλάντιον] St. in Arkadien, im W. von Tegea. — παύεσθαι] παίοντας. — ἐξιέναι] T. de conatu. — τὴν ἁρμάμαξαν] den zu diesem Behufe mitgebrachten Wagen.

10. βοηθητέον] sc. τιμωρουμένοις ὑπὲρ τῶν τ. — κατὰ und παρὰ τοὺς ὅρκους] zur Sache vgl. § 3. — φρουρὰν ἔφαινον] vgl. V, 1, 29. 36. — ἐληλυθότων αὐτῶν] vgl. V, 3, 13.

11. οἱ μὲν ἄλλοι] proleptisch gegenüber Ὀρχομένιοι und indirekt auch Μαντινεῖς. — Ἀσέα] St. in Arkadien, im SW. von Tegea; hier kam der panarkadische Bund zustande. — Ὀρχομενός] St. in Arkadien, im N. von Mantinea. — ἐπιμελόμενοι] hier in malam partem = φοβούμενοι oder φυλαττόμενοι mit Accus.; vgl. den Sinn von οὐ μέλει μοι θανάτου. — Ἡραία] Grenzstadt im W. von Arkadien. — Λέπρεον] St. in Triphylien, im S. von Elis.

12. ἐγένετο] sc. εὖ. — Εὔταια] St. im S. von Arkadien, an der lakon.

βατήρια, εὐθὺς ἐχώρει ἐπὶ τὴν Ἀρκαδίαν. καὶ καταλαβὼν πόλιν ὅμορον οὖσαν Εὔταιαν καὶ εὑρὼν ἐκεῖ τοὺς μὲν πρεσβυτέρους καὶ τὰς γυναῖκας καὶ τοὺς παῖδας οἰκοῦντας ἐν ταῖς οἰκίαις, τοὺς δ' ἐν τῇ στρατευσίμῳ ἡλικίᾳ οἰχομένους εἰς τὸ Ἀρκαδικόν, ὅμως οὐκ ἠδίκησε τὴν πόλιν, ἀλλ' εἴα τε αὐτοὺς οἰκεῖν καὶ ὠνούμενοι ἐλάμβανον ὅσων δέοιντο· εἰ δέ τι καὶ ἡρπάσθη, ὅτε εἰσῄει εἰς τὴν πόλιν, ἐξευρὼν ἀπέδωκεν. καὶ ἐπῳκοδόμει δὲ τὸ τεῖχος αὐτῶν ὅσα ἐδεῖτο, ἕωσπερ αὐτοῦ διέτριβεν ἀναμένων τοὺς μετὰ Πολυτρόπου μισθοφόρους.

13 Ἐν δὲ τούτῳ οἱ Μαντινεῖς στρατεύουσιν ἐπὶ τοὺς Ὀρχομενίους. καὶ ἀπὸ μὲν τοῦ τείχους μάλα χαλεπῶς ἀπῆλθον καὶ ἀπέθανόν τινες αὐτῶν· ἐπεὶ δὲ ἀποχωροῦντες ἐν τῇ Ἐλυμίᾳ ἐγένοντο καὶ οἱ μὲν Ὀρχομένιοι ὁπλῖται οὐκέτι ἠκολούθουν, οἱ δὲ περὶ τὸν Πολύτροπον ἐπέκειντο καὶ μάλα θρασέως, ἐνταῦθα γνόντες οἱ Μαντινεῖς, ὡς, εἰ μὴ ἀποκρούσονται αὐτούς, ἔτι πολλοὶ σφῶν κατακοντισθήσονται, ὑποστρέψαντες ὁμόσε ἐχώρησαν τοῖς
14 ἐπικειμένοις. καὶ ὁ μὲν Πολύτροπος μαχόμενος αὐτοῦ ἀποθνήσκει· τῶν δὲ ἄλλων φευγόντων πάμπολλοι ἂν ἀπέθανον, εἰ μὴ οἱ Φλιάσιοι ἱππεῖς παραγενόμενοι καὶ εἰς τὰ ὄπισθεν περιελάσαντες τῶν Μαντινέων ἐπέσχον αὐτοὺς τῆς διώξεως. καὶ οἱ μὲν Μαντινεῖς ταῦτα πράξαντες οἴκαδε ἀπῆλθον.

15 Ὁ δὲ Ἀγησίλαος ἀκούσας ταῦτα καὶ νομίσας οὐκ ἂν ἔτι συμμῖξαι αὐτῷ τοὺς ἐκ τοῦ Ὀρχομενοῦ μισθοφόρους οὕτω προῄει.

Grenze. — Ἀρκαδικόν] also nach Asea. — ὠνούμενοι] im D. Substantiv. — ἐλάμβανον] Constr. ad sensum „er und seine Soldaten". — δέοιντο] Welche Bedeutung hat der Optativ? — καὶ ἡρπάσθη] Gegens. ὠνούμενοι. — ἐξευρών] Die Präposition hebt die Absicht hervor, „ausfindig machen". — ἐπῳκοδόμει] *reficere*. — τεῖχος ὅσα] = τοῦ τείχους ὅσα; Σχῆμα καθ' ὅλον καὶ κατὰ μέρος. — ἐδεῖτο] ἐποικοδομεῖσθαι. — ἕωσπερ] Bedeutungsunterschied bei durativen und ingressiven Zeitformen!

13. ἀπὸ τοῦ τείχους] für ἀ. τῆς προσβολῆς πρὸς τὸ τ. — ἀπῆλθον] phraseolog. Verb. — Ἐλυμία] Ortschaft in Arkadien, zwischen Mantinea und Orchomenos. — ἠκολούθουν] im Sinne des διώκειν. — ἐπέκειντο] *instare*, das Medium und nicht wie gewöhnlich das Passiv von dem entsprechenden Kompositum von τίθημι vertretend. — καὶ μάλα] „und zwar sehr". — γνόντες] subord. zu dem Partic. ὑποστρέψαντες. — ἔτι πολλοί] vgl. vorher ἀπέθανόν τινες αὐτῶν.

14. ἐπέσχον] vgl. § 4.

15. ἐκ τοῦ Ὀρχ.] vgl. V, 1, 5. —

καὶ τῇ μὲν πρώτῃ ἐν τῇ Τεγεάτιδι χώρᾳ ἐδειπνοποιήσατο, τῇ δ’
ὑστεραίᾳ διαβαίνει εἰς τὴν Μαντινικὴν καὶ ἐστρατοπεδεύσατο ὑπὸ
τοῖς πρὸς ἑσπέραν ὄρεσι τῆς Μαντινείας· καὶ ἐκεῖ ἅμα ἐδῄου τὴν
χώραν καὶ ἐπόρθει τοὺς ἀγρούς. τῶν δὲ Ἀρκάδων οἱ συλλεγέντες
ἐν τῇ Ἀσέᾳ νυκτὸς παρῆλθον εἰς τὴν Τεγέαν. τῇ δ’ ὑστεραίᾳ ὁ 16
μὲν Ἀγησίλαος ἀπέχων Μαντινείας ὅσον εἴκοσι σταδίους ἐστρατο-
πεδεύσατο· οἱ δ’ ἐκ τῆς Τεγέας Ἀρκάδες ἐχόμενοι τῶν μεταξὺ
Μαντινείας καὶ Τεγέας ὀρῶν παρῆσαν μάλα πολλοὶ ὁπλῖται, συμ-
μῖξαι βουλόμενοι τοῖς Μαντινεῦσιν. καὶ γὰρ οἱ Ἀργεῖοι οὐ παν-
δημεὶ ἠκολούθουν αὐτοῖς· καὶ ἦσαν μέν τινες οἳ τὸν Ἀγησίλαον
ἔπειθον χωρὶς τούτοις ἐπιθέσθαι· ὁ δὲ φοβούμενος, μή, ἐν ὅσῳ
πρὸς ἐκείνους πορεύοιτο, ἐκ τῆς πόλεως οἱ Μαντινεῖς ἐξελθόντες
κατὰ κέρας τε καὶ ἐκ τῶν ὄπισθεν ἐπιπέσοιεν αὐτῷ, ἔγνω κρά-
τιστον εἶναι ἐᾶσαι συνελθεῖν αὐτοὺς καὶ εἰ βούλοιντο μάχεσθαι, ἐκ
τοῦ δικαίου καὶ φανεροῦ τὴν μάχην ποιεῖσθαι. καὶ οἱ μὲν δὴ 17
Ἀρκάδες ὁμοῦ ἤδη ἐγεγένηντο. οἱ δ’ ἐκ τοῦ Ὀρχομενοῦ πελτασταὶ
καὶ οἱ τῶν Φλιασίων ἱππεῖς μετ’ αὐτῶν τῆς νυκτὸς διεξελθόντες
παρὰ τὴν Μαντίνειαν θυομένῳ τῷ Ἀγησιλάῳ πρὸ τοῦ στρατο-
πέδου ἐπιφαίνονται ἅμα τῇ ἡμέρᾳ καὶ ἐποίησαν τοὺς μὲν ἄλλους
εἰς τὰς τάξεις δραμεῖν, Ἀγησίλαον δ’ ἐπαναχωρῆσαι πρὸς τὰ
ὅπλα. ἐπεὶ δ’ ἐκεῖνοι μὲν ἐγνώσθησαν φίλοι ὄντες, Ἀγησίλαος
δ’ ἐκεκαλλιέρητο, ἐξ ἀρίστου προῆγε τὸ στράτευμα. ἑσπέρας δ’
ἐπιγιγνομένης ἔλαθε στρατοπεδευσάμενος εἰς τὸν ὄπισθεν κόλπον
τῆς Μαντινικῆς, μάλα σύνεγγυς καὶ κύκλῳ ὄρη ἔχοντα. τῇ δ’ 18
ὑστεραίᾳ ἅμα τῇ ἡμέρᾳ ἐθύετο μὲν πρὸ τοῦ στρατεύματος· ἰδὼν

διαβαίνει] *διὰ τῆς Τεγεάτιδος.* — *ὄρεσι*] das Mänalos- und Parthenion-gebirge. — *Μαντινείας*] abh. von dem Adverb *πρὸς ἑσπέραν.*

16. *ὅσον*] *fere.* — *ἐχόμενοι*] „sich anlehnen“. — *ὁπλῖται*] Apposition. — *καὶ γὰρ … οὐ πανδημεί*] Motiv zu *συμμῖξαι βουλόμενοι.* — *ἠκολούθουν*] hier im freundlichen Sinne. — *τινες*] *τῶν Λακεδαιμονίων.* — *ἐν ὅσῳ*] betont die Länge der erforderlichen Zeit. — *κατὰ κέρας*] „in der Flanke“. — *τῶν ὄπισθεν*] *χωρίων.* — *ἐκ*] bezeichnet die Art u. Weise. — *δικαίου*] „regelrecht“. — *τὴν μάχην*] die sie beabsichtigten.

17. *πελτασταί*] Söldner des gefallenen Polytropos. — *διεξελθόντες*] durch feindliches Gebiet, daher die anfängliche Täuschung der Spartaner. — *ὅπλα*] Metonymie, Waffenplatz = „Lager“. — *ἐξ ἀρίστου*] zeitlich. — *κόλπος*] „Thalkessel“, durch die folgende Apposition erklärt; analog Meerbusen. — *σύνεγγυς*] koordiniert *κύκλῳ.*

δὲ συλλεγομένους ἐκ τῆς τῶν Μαντινέων πόλεως ἐπὶ τοῖς ὄρεσι τοῖς ὑπὲρ τῆς οὐρᾶς τοῦ ἑαυτῶν στρατεύματος ἔγνω ἐξακτέον εἶναι τὴν ταχίστην ἐκ τοῦ κόλπου. εἰ μὲν οὖν αὐτὸς ἀφηγοῖτο, ἐφοβεῖτο, μὴ τῇ οὐρᾷ ἐπίθοιντο οἱ πολέμιοι· ἡσυχίαν δὲ ἔχων καὶ τὰ ὅπλα πρὸς τοὺς πολεμίους φαίνων ἀναστρέψαντας ἐκέλευε τοὺς ἀπ᾽ οὐρᾶς εἰς δόρυ ὄπισθεν τῆς φάλαγγος ἡγεῖσθαι πρὸς αὐτόν· καὶ οὕτως ἅμα ἔκ τε τοῦ στενοῦ ἐξῆγε καὶ ἰσχυροτέραν
19 ἀεὶ φάλαγγα ἐποιεῖτο. ἐπειδὴ δὲ ἐδεδίπλωτο ἡ φάλαγξ, οὕτως ἔχοντι τῷ ὁπλιτικῷ προελθὼν εἰς τὸ πεδίον ἐξέτεινε πάλιν ἐπ᾽ ἐννέα ἢ δέκα τὸ στράτευμα ἀσπίδων. οἱ μέντοι Μαντινεῖς οὐκέτι ἐξῄεσαν· καὶ γὰρ οἱ Ἠλεῖοι συστρατευόμενοι αὐτοῖς ἔπειθον μὴ ποιεῖσθαι μάχην, πρὶν οἱ Θηβαῖοι παραγένοιντο· εὖ δὲ εἰδέναι ἔφασαν, ὅτι παρέσοιντο· καὶ γὰρ δέκα τάλαντα δεδανεῖσθαι
20 αὐτοὺς παρὰ σφῶν εἰς τὴν βοήθειαν. οἱ μὲν δὴ Ἀρκάδες ταῦτα ἀκούσαντες ἡσυχίαν εἶχον ἐν τῇ Μαντινείᾳ· ὁ δ᾽ Ἀγησίλαος καὶ μάλα βουλόμενος ἀπάγειν τὸ στράτευμα, — καὶ γὰρ ἦν μέσος χειμών, — ὅμως ἐκεῖ κατέμεινε τρεῖς ἡμέρας, οὐ πολὺ ἀπέχων τῆς Μαντινέων πόλεως, ὅπως μὴ δοκοίη φοβούμενος σπεύδειν τὴν ἄφοδον. τῇ δὲ τετάρτῃ πρωὶ ἀριστοποιησάμενος ἀπῆγεν ὡς στρατοπεδευσόμενος ἔνθαπερ τὸ πρῶτον ἀπὸ τῆς Εὐταίας ἐξώρμητο.
21 ἐπεὶ δὲ οὐδεὶς ἐφαίνετο τῶν Ἀρκάδων, ἦγε τὴν ταχίστην εἰς τὴν Εὔταιαν, καίπερ μάλα ὀψίζων, βουλόμενος ἀπαγαγεῖν τοὺς ὁπλίτας πρὶν καὶ τὰ πυρὰ τῶν πολεμίων ἰδεῖν, ἵνα μή τις εἴποι, ὡς φεύγων ἀπαγάγοι. ἐκ γὰρ τῆς πρόσθεν ἀθυμίας ἐδόκει τι ἀνει-

---

18. *συλλεγομένους*] *στρατιώτας*. — *ἑαυτῶν*] Constr. ad sensum statt *ἑαυτοῦ*, aus der Seele der Spartaner gedacht; ähnlich der Plural § 12. — *ἀφηγοῖτο*] „an der Spitze marschieren"; er stand mit dem rechten Flügel zunächst am Thalausgang. — *οὐρᾷ*] Nachhut auf dem linken Flügel. — *ὅπλα φαίνων*] „Front machen". — *εἰς δόρυ*] verb. mit *ἀναστρέψαντας* „rechts um"; dagegen *ἐπ᾽ ἀσπίδα* „links um"; warum? — *ἡγεῖσθαι*] „ziehen", zunächst von den Führern des Nachtrabs. — *πρὸς αὐτόν*] „neben ihn" behufs engen Anschlusses am Thalausgange.

19. *ἐδεδίπλωτο*] näml. auf 18—20 Mann, wie das Folgende zeigt. — *ἐπ᾽ ἀσπίδων*] vgl. 4, 12. — *ἐξῄεσαν*] *ἐκ τῆς πόλεως*. — *παρέσοιντο*] welches Subj.?

20. *καὶ ... βουλόμενος*] konzessiv. — *ἔνθαπερ*] erg. vorher *ἐνταῦθα*.

21. *πρὶν καί*] „bevor auch nur". — *φεύγων*] Hätte nämlich Agesilaos die ihm offenbar nachsetzenden Arkader auch nur gesehen, so durfte er nicht weiter abziehen, ohne flüchtig zu scheinen. — *τῆς πρόσθεν ἀθυμίας*]

ληφέναι τὴν πόλιν, ὅτι καὶ ἐνεβεβλήκει εἰς τὴν Ἀρκαδίαν καὶ δῃοῦντι τὴν χώραν οὐδεὶς ἠθελήκει μάχεσθαι. ἐπεὶ δ᾽ ἐν τῇ Λακωνικῇ ἐγένετο, τοὺς μὲν Σπαρτιάτας ἀπέλυσεν οἴκαδε, τοὺς δὲ περιοίκους ἀφῆκεν ἐπὶ τὰς ἑαυτῶν πόλεις.

Οἱ δὲ Ἀρκάδες, ἐπεὶ ὁ Ἀγησίλαος ἀπεληλύθει καὶ ᾔσθοντο 22
διαλελυμένον αὐτῷ τὸ στράτευμα, αὐτοὶ δὲ ἠθροισμένοι ἐτύγχανον, στρατεύουσιν ἐπὶ τοὺς Ἡραιέας, ὅτι τε οὐκ ἤθελον τοῦ Ἀρκαδικοῦ μετέχειν καὶ ὅτι συνεισεβεβλήκεσαν εἰς τὴν Ἀρκαδίαν μετὰ τῶν Λακεδαιμονίων. ἐμβαλόντες δ᾽ ἐνεπίμπρων τε τὰς οἰκίας καὶ ἔκοπτον τὰ δένδρα.

Ἐπεὶ δὲ οἱ Θηβαῖοι βεβοηθηκότες παρεῖναι ἐλέγοντο εἰς τὴν Μαντίνειαν, οὕτως ἀπαλλάττονται ἐκ τῆς Ἡραίας καὶ συμμιγνύουσι τοῖς Θηβαίοις. ὡς δὲ ὁμοῦ ἐγένοντο, οἱ μὲν Θηβαῖοι καλῶς 23
σφίσιν ᾤοντο ἔχειν, ἐπεὶ ἐβεβοηθήκεσαν μέν, πολέμιον δὲ οὐδένα ἔτι ἑώρων ἐν τῇ χώρᾳ, καὶ ἀπιέναι παρεσκευάζοντο· οἱ δὲ Ἀρκάδες καὶ Ἀργεῖοι καὶ Ἠλεῖοι ἔπειθον αὐτοὺς ἡγεῖσθαι ὡς τάχιστα εἰς τὴν Λακωνικήν, ἐπιδεικνύντες μὲν τὸ ἑαυτῶν πλῆθος, ὑπερεπαινοῦντες δὲ τὸ τῶν Θηβαίων στράτευμα. καὶ γὰρ οἱ μὲν Βοιωτοὶ ἐγυμνάζοντο πάντες περὶ τὰ ὅπλα, ἀγαλλόμενοι τῇ ἐν Λεύκτροις νίκῃ· ἠκολούθουν δ᾽ αὐτοῖς καὶ Φωκεῖς ὑπήκοοι γεγενημένοι καὶ Εὐβοεῖς ἀπὸ πασῶν τῶν πόλεων καὶ Λοκροὶ ἀμφότεροι καὶ Ἀκαρνᾶνες καὶ Ἡρακλεῶται καὶ Μηλιεῖς· ἠκολούθουν δ᾽ αὐτοῖς καὶ ἐκ Θετταλίας ἱππεῖς τε καὶ πελτασταί. ταῦτα δὴ σκοπούμενοι καὶ τὴν ἐν Λακεδαίμονι ἐρημίαν λέγοντες ἱκέτευον μηδαμῶς ἀποτρέπεσθαι, πρὶν ἐμβαλεῖν εἰς τὴν τῶν Λακεδαιμονίων

---

nach der Niederlage bei Leuktra, vgl. § 16 *ἐλυποῦντο ὥσπερ ἀνάγκη*. — *ἀνειληφέναι*] „wieder heben". — *ἀπέλυσεν*] *ἀφῆκεν*. — *ἑαυτῶν*] Reflexiv, auf das grammatische Objekt bezogen, weil dieses logisches Subjekt ist im Sinne von *ἀφείθησαν*; die *ξένοι* blieben in Sparta, vgl. § 29.

22. *οὐκ ἤθελον*] vgl. § 11. — *ἐνεπίμπρων*] von der Nebenform *ἐμπιμπράω*; ähnlich *συμμιγνύουσι*. — *βεβοηθηκότες*] vgl. § 19. — *οὕτως*] vgl. 4, 3. — *ἀπαλλάττονται*] *οἱ Ἀρκάδες*.

23. *καλῶς σφίσιν ἔχειν*] Die günstige Wendung für Theben liegt in der Ehre ihrer Kampfbereitschaft ohne thatsächliche Opfer. — *ταῦτα*] *τὰ καλά*. — *δή*] *igitur*, epanaleptisch *ἐπιδεικνύντες μὲν* ... *ὑπερεπαινοῦντες δέ* zusammenfassend. — *σκοπούμενοι*] *οἱ Ἀρκάδες κτλ.* — *ἐρημίαν*] Folge der Schl. bei Leuktra. — *λέγοντες*] *ἐπιδεικνύντες*. — *μηδαμῶς*] „unter keinen Umständen".

24 χώραν. οἱ δὲ Θηβαῖοι ἤκουον μὲν ταῦτα, ἀντελογίζοντο δέ, ὅτι δυσεμβολωτάτη μὲν ἡ Λακωνικὴ ἐλέγετο εἶναι, φρουρὰς δὲ καθεστάναι ἐνόμιζον ἐπὶ τοῖς εὐπροσοδωτάτοις. καὶ γὰρ ἦν Ἰσχόλαος μὲν ἐν Οἰῷ τῆς Σκιρίτιδος, ἔχων νεοδαμώδεις τε φρουροὺς καὶ τῶν Τεγεατῶν φυγάδων τοὺς νεωτάτους περὶ τετρακοσίους· ἦν δὲ καὶ ἐπὶ Λεύκτρῳ ὑπὲρ τῆς Μαλεάτιδος ἄλλη φρουρά. ἐλογίζοντο δὲ καὶ τοῦτο οἱ Θηβαῖοι, ὡς καὶ συνελθοῦσαν ἂν ταχέως τὴν τῶν Λακεδαιμονίων δύναμιν καὶ μάχεσθαι ἂν αὐτοὺς οὐδαμοῦ ἄμεινον ἢ ἐν τῇ ἑαυτῶν. ἃ δὴ πάντα λογιζόμενοι οὐ πάνυ προπετεῖς
25 ἦσαν εἰς τὸ ἰέναι εἰς τὴν Λακεδαίμονα. ἐπεὶ μέντοι ἧκον ἔκ τε Καρυῶν λέγοντες τὴν ἐρημίαν καὶ ὑπισχνούμενοι αὐτοὶ ἡγήσεσθαι καὶ κελεύοντες, ἄν τι ἐξαπατῶντες φαίνωνται, ἀποσφάττειν σφᾶς, παρῆσαν δέ τινες καὶ τῶν περιοίκων ἐπικαλούμενοι καὶ φάσκοντες ἀποστήσεσθαι, εἰ μόνον φανείησαν εἰς τὴν χώραν, ἔλεγον δέ, ὡς καὶ νῦν καλούμενοι οἱ περίοικοι ὑπὸ τῶν Σπαρτιατῶν οὐκ ἐθέλοιεν βοηθεῖν· πάντα οὖν ταῦτα ἀκούοντες καὶ παρὰ πάντων οἱ Θηβαῖοι ἐπείσθησαν καὶ αὐτοὶ μὲν κατὰ Καρύας ἐνέβαλον, οἱ δὲ

---

24. ἤκουον μὲν ... δὲ ... μὲν ... δέ] im ersten Satze adversative, im zweiten kopulative Verbindung. — Οἰόν] im N. von Lakonien. — νεοδαμώδεις] vgl. V, 2, 24. — φρουρούς] prädikativ nur zu νεοδαμώδεις. — Λεῦκτρον] St. im S. von Arkadien. — Μαλεᾶτις] Gebiet von Malea, im S. von Arkadien. — τοῦτο] dazu stehen epexegetisch die folgenden Objekte, resp. Objektssätze. — ὡς καί] Gegensatz die vorher genannten Nachteile wie δυσεμβολωτάτη und φρουρούς. — ὡς ... συνελθοῦσαν ἄν] Particip des subjektiven Grundes zunächst formell Apposition zu τὴν δύναμιν, dann aber auch, wie es häufig der Fall ist (vgl. V, 1, 25), einen Objektssatz vertretend, welcher hier die mildere Form des Potentialis angenommen hat. Die epexegetischen Objekte für τοῦτο sind 1) das Substantiv τὴν ... δύναμιν κτλ. „die Macht in Anbetracht, dafs sie nötigenfalls könnte" u. s. w. 2) der Infinitiv καὶ (τὸ) αὐτοὺς μάχεσθαι ἄν „der Umstand, dafs sie könnten". Konzinner würde der Satz lauten: ὡς καὶ συνέλθοι ἂν ταχέως (εἰ δέοι) ἡ τ. Λ. δύναμις καὶ (ὡς) μάχοιντο ἂν (οἱ Λακεδαιμόνιοι) οὐδαμοῦ κτλ. — οὐ πάνυ] vgl. V, 4, 45.

25. Καρύαι] St. im N. von Lakonien. — λέγοντες] sc. τινες, übrigens wie § 23. — ἧκον ... τε ... παρῆσαν δέ] anakoluth. Übergang aus der kopulativen Verbindung in die adversative. — ἐπικαλούμενοι] Med. intensiv. zugleich des Interesses. — φανείησαν] οἱ Θηβαῖοι. — καὶ νῦν] „schon jetzt". — καλούμενοι] Passiv. — πάντα ... ἀκούοντες] epanaleptisch die drei Sätze ἐπεὶ ... δὲ ... δέ zusammenfassend. — παρὰ πάντων] verbinde mit ἀκούοντες. — οἱ Θηβαῖοι] Beginn des Nachsatzes.

Ἀρκάδες κατὰ Οἰὸν τῆς Σκιρίτιδος. καὶ εἰ μὲν ἐπὶ τὰ δύσβατα 26 προελθὼν ὁ Ἰσχόλαος ὑφίστατο, οὐδένα ἂν ταύτῃ γ᾽ ἔφασαν ἀναβῆναι· νῦν δὲ βουλόμενος τοῖς Οἰάταις συμμάχοις χρῆσθαι ἔμεινεν ἐν τῇ κώμῃ· οἱ δὲ ἀνέβησαν παμπληθεῖς Ἀρκάδες. ἐνταῦθα δὴ ἀντιπρόσωποι μὲν μαχόμενοι οἱ περὶ τὸν Ἰσχόλαον ἐπεκράτουν· ἐπεὶ δὲ καὶ ὄπισθεν καὶ ἐκ πλαγίου καὶ ἀπὸ τῶν οἰκιῶν ἀναβαίνοντες ἔπαιον καὶ ἔβαλλον αὐτούς, ἐνταῦθα ὅ τε Ἰσχόλαος ἀποθνήσκει καὶ οἱ ἄλλοι πάντες, εἰ μή τις ἀμφιγνοηθεὶς διέφυγεν. διαπραξάμενοι δὲ ταῦτα οἱ Ἀρκάδες ἐπορεύοντο πρὸς τοὺς Θη- 27 βαίους ἐπὶ τὰς Καρύας. οἱ δὲ Θηβαῖοι ἐπεὶ ᾔσθοντο τὰ πεπραγμένα ὑπὸ τῶν Ἀρκάδων, πολὺ δὴ θρασύτερον κατέβαινον. καὶ τὴν μὲν Σελλασίαν εὐθὺς ἔκαιον καὶ ἐπόρθουν· ἐπεὶ δὲ ἐν τῷ πεδίῳ ἐγένοντο ἐν τῷ τεμένει τοῦ Ἀπόλλωνος, ἐνταῦθα ἐστρατοπεδεύσαντο· τῇ δ᾽ ὑστεραίᾳ ἐπορεύοντο. καὶ διὰ μὲν τῆς γεφύρας οὐδ᾽ ἐπεχείρουν διαβαίνειν ἐπὶ τὴν πόλιν· καὶ γὰρ ἐν τῷ τῆς Ἀλέας ἱερῷ ἐφαίνοντο ἐναντίοι οἱ ὁπλῖται· ἐν δεξιᾷ δ᾽ ἔχοντες τὸν Εὐρώταν παρῄεσαν κάοντες καὶ πορθοῦντες πολλῶν κἀγαθῶν μεστὰς οἰκίας. τῶν δ᾽ ἐκ τῆς πόλεως αἱ μὲν γυναῖκες οὐδὲ τὸν 28 καπνὸν ὁρῶσαι ἠνείχοντο, ἅτε οὐδέποτε ἰδοῦσαι πολεμίους· οἱ δὲ Σπαρτιᾶται ἀτείχιστον ἔχοντες τὴν πόλιν, ἄλλος ἄλλῃ διαταχθείς, μάλα ὀλίγοι καὶ ὄντες καὶ φαινόμενοι ἐφύλαττον. ἔδοξε δὲ τοῖς τέλεσι καὶ προειπεῖν τοῖς Εἵλωσιν, εἴ τις βούλοιτο ὅπλα λαμ-

---

26. τὰ δύσβατα] die unwegsamen Höhen des Passes oberhalb Oion. — Ἰόλαος] vgl. § 24. — ὑφίστατο] Irrealis Praeteriti mit durativem Sinn. — ἔφασαν] schon damals. — ἂν ... ἀναβῆναι] welchen Modus der Or. recta vertretend? — νῦν δέ] übliche Formel für den Beweis der Irrealität. — οἱ δέ] infolge dessen. — παμπληθεῖς] prädikativ. — ἐπεκράτουν] durativ „sich behaupten". — ἐκ πλαγίου] „von der Seite". — ἀναβαίνοντες] ἐπὶ τὰς οἰκίας. — ἔπαιον καὶ ἔβαλλον] *cominus et eminus.* — εἰ μή] mit Ind. *nisi forte;* also der Mod.realis für die Unwahrscheinlichkeit. — ἀμφιγνοηθείς] sc. πότερον πολέμιος ἢ φίλος εἴη.

27. κατέβαινον] τῶν ὀρέων. — Σελλασία] St. im N. von Lakonien. — πεδίῳ] im Eurotasthal. — τεμένει] „heiliger Bezirk". Etymol. τέμνω, τέμπη, *templum;* vgl. im D. „Gottesacker". — γεφύρας] über den Eurotas. — Ἀλέα] Beiname der Athene, „Kriegsvorsehung" verw. mit ἀλέομαι die Gefahr „meiden".

28. τῶν ἐκ τ. π.] vgl. V, 1, 5. — τὸν καπνόν] τὸ πῦρ τῶν πολεμίων. — οὐδὲ ὁρῶσαι ἠνείχοντο] Plutarch ἐκφρόνων οὐσῶν. — οἱ Σπαρτιᾶται ... ἄλλος] partitive Apposition, vgl. V, 4, 44. — φαινόμενοι] ohne Infin. = γιγνωσκόμενοι, hier konzessiv. — καί] „noch" betont προειπεῖν gegenüber

βάνειν καὶ εἰς τάξιν τίθεσθαι, τὰ πιστὰ λαμβάνειν ὡς ἐλευθέ-
29 ρους ἐσομένους ὅσοι συμπολεμήσαιεν. καὶ τὸ μὲν πρῶτον ἔφασαν
ἀπογράψασθαι πλέον ἢ ἑξακισχιλίους, ὥστε φόβον αὖ οὗτοι παρ-
εῖχον συντεταγμένοι καὶ λίαν ἐδόκουν πολλοὶ εἶναι· ἐπεὶ μέντοι
ἔμενον μὲν οἱ ἐξ Ὀρχομενοῦ μισθοφόροι, ἐβοήθησαν δὲ τοῖς Λακε-
δαιμονίοις Φλιάσιοί τε καὶ Κορίνθιοι καὶ Ἐπιδαύριοι καὶ Πελλη-
νεῖς καὶ ἄλλαι δέ τινες τῶν πόλεων, ἤδη καὶ τοὺς ἀπογεγραμ-
30 μένους ἧττον ὡρρώδουν. ὡς δὲ προϊὸν τὸ στράτευμα ἐγένετο κατ'
Ἀμύκλας, ταύτῃ διέβαινον τὸν Εὐρώταν. καὶ οἱ μὲν Θηβαῖοι
ὅπου στρατοπεδεύοιντο, εὐθὺς ὧν ἔκοπτον δένδρων κατέβαλλον
πρὸ τῶν τάξεων ὡς ἐδύναντο πλεῖστα καὶ οὕτως ἐφυλάττοντο·
οἱ δὲ Ἀρκάδες τούτων γε οὐδὲν ἐποίουν, καταλιπόντες δὲ τὰ ὅπλα
εἰς ἁρπαγὴν ἐπὶ τὰς οἰκίας ἐτρέποντο. ἐκ τούτου δὴ ἡμέρᾳ τρίτῃ
ἢ τετάρτῃ προῆλθον οἱ ἱππεῖς εἰς τὸν ἱππόδρομον εἰς Γαιαόχου
κατὰ τάξεις, οἵ τε Θηβαῖοι πάντες καὶ οἱ Ἠλεῖοι καὶ ὅσοι
Φωκέων ἢ Θετταλῶν ἢ Λοκρῶν ἱππεῖς παρῆσαν. οἱ δὲ τῶν
31 Λακεδαιμονίων ἱππεῖς, μάλα ὀλίγοι φαινόμενοι, ἀντιτεταγμένοι
αὐτοῖς ἦσαν. ἐνέδραν δὲ ποιήσαντες ὁπλιτῶν τῶν νεωτέρων ὅσον
τριακοσίων ἐν τῇ τῶν Τυνδαριδῶν ἅμα οὗτοι μὲν ἐξέθεον, οἱ δ'
ἱππεῖς ἤλαυνον· οἱ δὲ πολέμιοι οὐκ ἐδέξαντο, ἀλλ' ἐνέκλιναν.

ἐφύλαττον. — τὰ πιστὰ λαμβάνειν] = πιστεύειν, Begehrungssatz. — ὡς ἐσομένους] kausale Apposition zu einem aus τοῖς Εἵλωσι zu entnehmenden αὐτούς. — ὅσοι] γε αὐτῶν epanaleptisch zu εἴ τις.

29. ἔφασαν] wie § 26. — ἀπογράψασθαι] sc. ὡς συμπολεμήσοντας καὶ ἐλευθέρους ἐσομένους „sich in die Liste eintragen lassen"; etwas anders 3, 19. — αὖ] „auch ihrerseits". — φόβον] wegen des angeborenen Hasses der Heloten gegen ihre Zwingherren. — οἱ μισθοφόροι] vgl. § 15; diese sind also mit nach Sparta gegangen, was § 21 nicht erwähnt ist. — ἔμενον] treu wider Erwarten. — καὶ ... δέ] vgl. V, 1, 11. — ἄλλαι] aufgezählt VII, 2, 2. — κατ' Ἀμ.] „gegenüber A.".

30. Ἀμύκλαι] im S. von Sparta. — ὅπου] hypoth. Relat. *ubicumque*. — ὧν] Attract. Relat.; wovon ist der Genet. partit. abhängig? — τούτων] = τοιούτων. — Γαιαόχου] dor. Beiname des Poseidon; erg. ἱερόν, von welchem der ἱππόδρομος ein Teil war. — Θηβαῖοι κτλ.] sc. ἱππεῖς. —

31. φαινόμενοι] wie § 28. — ὅσον] vgl. § 16. — ἐν τῇ] οἰκίᾳ. — Τυνδαριδῶν] nach dem Gatten ihrer Mutter Leda benannt, Διὸς κοῦροι, *fratres Helenae*, Stammgötter Spartas. — ἅμα μὲν ... δέ] Parataxe wie Lat. *simul atque*; im D. subord. — οὗτοι μέν] οἱ ὁπλῖται. — οἱ δ' ἱππεῖς] die

ἰδόντες δὲ ταῦτα πολλοὶ καὶ τῶν πεζῶν εἰς φυγὴν ὥρμησαν. ἐπεὶ μέντοι οἵ τε διώκοντες ἐπαύσαντο καὶ τὸ τῶν Θηβαίων στράτευμα ἔμενε, πάλιν δὴ κατεστρατοπεδεύσαντο. καὶ τὸ μὲν μὴ πρὸς τὴν 32
πόλιν προσβαλεῖν ἂν ἔτι αὐτοὺς ἤδη τι ἐδόκει θαρραλεώτερον εἶναι· ἐκεῖθεν μέντοι ἀπᾶραν τὸ στράτευμα ἐπορεύετο τὴν ἐφ' Ἕλος καὶ Γύθειον. καὶ τὰς μὲν ἀτειχίστους τῶν πόλεων ἐνεπίμπρασαν, Γυθείῳ δέ, ἔνθα τὰ νεώρια τοῖς Λακεδαιμονίοις ἦν, καὶ προσέβαλλον τρεῖς ἡμέρας. ἦσαν δέ τινες τῶν περιοίκων οἳ καὶ ἐπέθεντο καὶ συνεστρατεύοντο τοῖς μετὰ Θηβαίων.

Ἀκούοντες δὲ ταῦτα οἱ Ἀθηναῖοι ἐν φροντίδι ἦσαν, ὅ,τι χρὴ 33
ποιεῖν περὶ Λακεδαιμονίων, καὶ ἐκκλησίαν ἐποίησαν κατὰ δόγμα βουλῆς. ἔτυχον δὲ παρόντες πρέσβεις Λακεδαιμονίων τε καὶ τῶν ἔτι ὑπολοίπων συμμάχων αὐτοῖς. ὅθεν δὴ οἱ Λακεδαιμόνιοι Ἄρακος καὶ Ὤκυλλος καὶ Φάραξ καὶ Ἐτυμοκλῆς καὶ Ὀλονθεὺς σχεδὸν πάντες παραπλήσια ἔλεγον. ἀνεμίμνῃσκόν τε γὰρ τοὺς Ἀθηναίους, ὡς ἀεί ποτε ἀλλήλοις ἐν τοῖς μεγίστοις καιροῖς παρίσταντο ἐπ' ἀγαθοῖς· αὐτοί τε γὰρ ἔφασαν τοὺς τυράννους συνεκβαλεῖν Ἀθήνηθεν καὶ Ἀθηναίους, ὅτε αὐτοὶ ἐπολιορκοῦντο ὑπὸ

---

eben genannten *ἀντιτεταγμένοι*. — *οἱ δὲ πολέμιοι*] *οἱ ἱππεῖς*; Gegens. *καὶ τῶν πεζῶν*. — *ἐπαύσαντο διώκοντες*. — *ἔμενε*] „standhalten“.

32. *μὴ*] steht stets bei dem substantivierten Inf. auch da, wo er wie hier als Inf. potentialis mit *ἂν* den Urteilssatz vertritt. — *ἔτι*] verb. mit *μή*. — *αὐτούς*] *τοὺς Θηβαίους*. — *ἤδη*] verb. mit dem Prädikat. — *θαρραλεώτερον*] *ἢ πρότερον*; hier im aktiven Sinne wie *θαρσύνω (maiorem) spem praebere*, sonst meist im passiven Sinne wie *θαρρέω*. Der Sinn des Satzes ist *οὐκέτι φόβος εἶναι ἐδόκει μὴ ... ἔτι προσβάλοιεν*. — *μέντοι*] zum Gegensatz der anderweitigen Feindseligkeiten *ἀπᾶραν κτλ.* zu *μὴ πρὸς τὴν πόλιν κτλ.* — *τὸ στράτευμα*] *τῶν Θηβαίων*. — *Ἕλος καὶ Γύθειον*] Städte am lakon. Meerb. — *καί*] „sogar“. — *προσέβαλλον*] das durative Tempus mit dem durativen Zeitkasus (Zeitlinie); phraseol. Verb. — *περιοίκων*] vgl. zu V, 2, 24. — *ἐπέθεντο*] *Γυθείῳ* d. i. *τοῖς Λακεδ.*

33. *ἐν φροντίδι ἦσαν*] *ἐφρόντιζον ἀποροῦντες*. — *δόγμα βουλῆς*] *προβούλευμα*. — *αὐτοῖς*] abh. von dem in *συμμάχων* liegenden Verbalbegriff. — *ὅθεν δή*] begründet nur *οἱ Λακεδ. ἔλεγον*, aber nicht die weiteren Zusätze, bei denen man also *καὶ ταῦτα ... παραπλ.* erwartet. — *ἀνεμίμνῃσκον*] T. de conatu. — *ἀεί ποτε*] „von jeher“. — *καιροῖς*] *discrimen*. — *ἐπ' ἀγαθοῖς*] vgl. V, 2, 35; im D. Superlativ. — *αὐτοί*] unter König Kleomenes I. — *τυράννους*] *Πεισιστρατίδας*. — *ἐπολιορκοῦντο*] im dritten messen. Kriege 464—455 v. Chr. — *βοηθεῖν*] Inf. Imperf.

34 Μεσσηνίων, προθύμως βοηθεῖν. ἔλεγον δὲ καὶ ὅσ' ἀγαθὰ εἴη, ὅτε κοινῇ ἀμφότεροι ἔπραττον, ὑπομιμνήσκοντες μέν, ὡς τὸν βάρβαρον κοινῇ ἀπεμαχέσαντο, ἀναμιμνήσκοντες δέ, ὡς Ἀθηναῖοί τε ὑπὸ τῶν Ἑλλήνων ᾑρέθησαν ἡγεμόνες τοῦ ναυτικοῦ καὶ τῶν κοινῶν χρημάτων φύλακες, τῶν Λακεδαιμονίων ταῦτα συμβουλομένων, αὐτοί τε κατὰ γῆν ὁμολογουμένως ὑφ' ἁπάντων τῶν Ἑλλήνων ἡγεμόνες προκριθείησαν, συμβουλομένων αὖ ταῦτα τῶν Ἀθηναίων.
35 εἷς δὲ αὐτῶν καὶ ὧδέ πως εἶπεν· Ἐὰν δὲ ὑμεῖς καὶ ἡμεῖς, ὦ ἄνδρες, ὁμονοήσωμεν, νῦν ἐλπὶς τὸ πάλαι λεγόμενον δεκατευθῆναι Θηβαίους. οἱ μέντοι Ἀθηναῖοι οὐ πάνυ ἐδέξαντο, ἀλλὰ θροῦς τις τοιοῦτος διῆλθεν, ὡς νῦν μὲν ταῦτα λέγοιεν, ὅτε δὲ εὖ ἔπραττον, ἐπέκειντο ἡμῖν. μέγιστον δὲ τῶν λεχθέντων παρὰ Λακεδαιμονίων ἐδόκει εἶναι, ὅτι, ἡνίκα κατεπολέμησαν αὐτούς, Θηβαίων βουλομένων
36 ἀναστάτους ποιῆσαι τὰς Ἀθήνας, σφεῖς ἐμποδὼν γένοιντο. ὁ δὲ πλεῖστος ἦν λόγος, ὡς κατὰ τοὺς ὅρκους βοηθεῖν δέοι· οὐ γὰρ ἀδικησάντων σφῶν ἐπιστρατεύοιεν οἱ Ἀρκάδες καὶ οἱ μετ' αὐτῶν τοῖς Λακεδαιμονίοις, ἀλλὰ βοηθησάντων τοῖς Τεγεάταις, ὅτι οἱ Μαντινεῖς παρὰ τοὺς ὅρκους ἐπεστράτευσαν αὐτοῖς. διέθει οὖν καὶ κατὰ τούτους τοὺς λόγους θόρυβος ἐν τῇ ἐκκλησίᾳ· οἱ μὲν γὰρ δικαίως τοὺς Μαντινέας ἔφασαν βοηθῆσαι τοῖς περὶ Πρόξενον

---

34. ἔλεγον δέ] korresp. mit ἀνεμίμνησκόν τε, vgl. § 25. — εἴη] vertritt hier ebenfalls den Ind. Imperf. — ἀπεμαχέσαντο] prägn. = μαχόμενοι ἀπέτρεψαν. — τῶν κοινῶν χρημάτων] Bundeskasse auf Delos, ὁ φόρος. — συμβουλομένων] Aufbauschung einer nur indirekten Zustimmung (Thucyd. I, 95. extr. οἱ Λακεδαιμόνιοι τοὺς Ἀθηναίους νομίζοντες ἱκανοὺς ἐξηγεῖσθαι καὶ σφίσιν ἐν τῷ τότε παρόντι ἐπιτηδείους). — προκριθείησαν] Moduswechsel bei ὡς, vgl. Anab. II, 1, 3.

35. ἐὰν δέ] setzt eine dritte Rede bereits voraus. — ἐλπὶς τὸ λεγόμενον δεκατευθῆναι] Konstr. und Gedankengang wie 3, 20. — οὐ πάνυ] vgl. V, 4, 45. — διῆλθε] ἐν τῇ ἐκκλησίᾳ vgl. § 36. — νῦν] = ὅτε μὲν κακῶς πράττοιεν. — ἐπέκειντο ἡμῖν] Übergang in die Or. recta; zu ἐπέκειντο vgl. § 13. — μέγιστον] gravissimum. — κατεπολέμησαν] οἱ Λακ. im J. 404 v. Chr. — σφεῖς] indir. Refl. auf Λακεδ. zu beziehen. — ἀναστάτους] zur Sache vgl. II, 2, 19; VI, 313.

36. πλεῖστος] quantitativ „die meisten Worte“, im Gegensatze zu dem qualitativen μέγιστον. — κατὰ τοὺς ὅρκους] vgl. 3, 18. — σφῶν] τ. Λακεδαιμονίων. — ἐπιστρατεύοιεν] Fortsetzung der Or. obl. im Optat. noch abh. von ὡς, statt des Infin., vgl. III, 2, 23; zur Sache § 10. — διέθει] durativ; vgl. διῆλθε § 35. — ἀδικεῖν] parallel βοηθῆσαι. — Πρόξενον . . . Στάσιππον] vgl. § 6.

ἀποθανοῦσιν ὑπὸ τῶν περὶ τὸν Στάσιππον, οἱ δὲ ἀδικεῖν, ὅτι ὅπλα ἐπήνεγκαν Τεγεάταις.

37 Τούτων δὲ διοριζομένων ὑπ᾽ αὐτῆς τῆς ἐκκλησίας, ἀνέστη Κλειτέλης Κορίνθιος καὶ εἶπε τάδε· Ἀλλὰ ταῦτα μέν, ὦ ἄνδρες Ἀθηναῖοι, ἴσως ἀντιλέγεται, τίνες ἦσαν οἱ ἄρξαντες ἀδικεῖν· ἡμῶν δέ, ἐπεὶ εἰρήνη ἐγένετο, ἔχει τις κατηγορῆσαι, ἢ ὡς ἐπὶ πόλιν τινὰ ἐστρατεύσαμεν ἢ ὡς χρήματά τινων ἐλάβομεν ἢ ὡς γῆν ἀλλοτρίαν ἐδῃώσαμεν; ἀλλ᾽ ὅμως οἱ Θηβαῖοι εἰς τὴν χώραν ἡμῶν ἐλθόντες καὶ δένδρα ἐκκεκόφασι καὶ οἰκίας κατακεκαύκασι καὶ χρήματα καὶ πρόβατα διηρπάκασιν. πῶς οὖν, ἐὰν μὴ βοηθῆτε οὕτω περιφανῶς ἡμῖν ἀδικουμένοις, οὐ παρὰ τοὺς ὅρκους ποιήσετε; καὶ ταῦτα ὧν αὐτοὶ ἐπεμελήθητε ὅρκων, ὅπως πᾶσιν ὑμῖν πάντες ἡμεῖς ὀμόσαιμεν; ἐνταῦθα μέντοι οἱ Ἀθηναῖοι ἐπεθορύβησαν ὡς ὀρθῶς τε καὶ δίκαια εἰρηκότος τοῦ Κλειτέλους. 38 ἐπὶ δὲ τούτῳ ἀνέστη Προκλῆς Φλιάσιος καὶ εἶπεν· Ὅτι μέν, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ ἐκποδὼν γένοιντο Λακεδαιμόνιοι, ἐπὶ πρώτους ἂν ὑμᾶς στρατεύσαιεν οἱ Θηβαῖοι, πᾶσιν οἶμαι τοῦτο δῆλον εἶναι· τῶν γὰρ ἄλλων μόνους ἂν ὑμᾶς οἴονται ἐμποδὼν γενέσθαι τοῦ ἄρξαι αὐτοὺς τῶν Ἑλλήνων. 39 εἰ δὲ οὕτως ἔχει, ἐγὼ μὲν οὐδὲν μᾶλλον Λακεδαιμονίοις ἂν ὑμᾶς ἡγοῦμαι στρατεύσαντας βοηθῆσαι ἢ καὶ ὑμῖν αὐτοῖς. τὸ γὰρ δυσμενεῖς ὄντας ὑμῖν Θηβαίους καὶ ὁμόρους οἰκοῦντας ἡγεμόνας γενέσθαι τῶν Ἑλλήνων πολὺ οἶμαι χαλεπώ-

---

37. *διοριζομένων*] Grundbed. „abgrenzen"; d. i. hier „durch Meinungsaustausch klar legen". — *αὐτῆς*] Gegensatz zur *ἀντιλογία* der Gesandten. — *ἀλλά*] die Rede einleitend „allerdings". — *ἀντιλέγεται*] vgl. 3, 20. — *ἦσαν*] bisher; das Präterit. auch in der Or. recta. — *ἄρξαντες*] *ἄρχω* mit Infin. „der erste sein vor anderen zeitlich, räumlich oder nach dem Rang". *ἄρχομαι* mit Part. „im Anfange der eigenen Handlung stehen", mit Infin. „sich anschicken", also Verb. cupiendi. — *ἡμῶν*] wovon abhängig? — *τινων*] Gen. poss., da der Gen. separat. nicht bei *λαμβάνειν* steht wie bei *ἀφαιρεῖσθαι*. — *ἐλάβομεν*] *βίᾳ*. — *πῶς οὐ*] rhetor.; vgl. V, 2, 15. — *καὶ ταῦτα*] *et quidem*. — *ὧν*] *παρὰ τούτους τοὺς ὅρκους ὧν*, woraus sich das Objekt zu *ὀμόσαιμεν* ergiebt. — *ὀρθῶς τε καὶ δίκαια*] inkonzinne Koordin. von Adverb u. Objekt.

38. *Προκλῆς*] Gastfreund des Agesilaos; vgl. V, 3, 13. — *ἐκποδὼν* ... *ἐμποδών*] Gegensätze wie *expedire* u. *impedire*. — *ἄρξαι*] vgl. zu § 37. Hier fehlt das abundierende *μή*. — *αὐτούς*] *τ. Θηβαίους*; der Accusativ beim Infin. trotz des gleichen Subj. im Verb. regens *οἴονται* als Gegensatz zu *ὑμᾶς*.

39. *ἐγὼ μέν*] *ἐγὼ μήν*. — *στρατεύσαντας*] P. explicativ. — *ἢ καί*] vgl. V, 1, 14. — *τὸ* ... *γενέσθαι*] Subj.

τερον ἂν ὑμῖν φανῆναι ἢ ὁπότε πόρρω τοὺς ἀντιπάλους εἴχετε.
συμφορώτερόν γε μεντἂν ὑμῖν αὐτοῖς βοηθήσαιτε ἐν ᾧ ἔτι εἰσὶν
οἵ συμμαχοῖεν ἂν ἢ εἰ ἀπολομένων αὐτῶν μόνοι ἀναγκάζοισθε δια-
40 μάχεσθαι πρὸς τοὺς Θηβαίους. εἰ δέ τινες φοβοῦνται, μή, ἐὰν
νῦν ἀναφύγωσιν οἱ Λακεδαιμόνιοι, ἔτι ποτὲ πράγματα παρέχωσιν
ὑμῖν, ἐνθυμήθητε, ὅτι οὐχ οὓς ἂν εὖ, ἀλλ' οὓς ἂν κακῶς τις ποιῇ,
φοβεῖσθαι δεῖ, μή ποτε μέγα δυνασθῶσιν. ἐνθυμεῖσθαι δὲ καὶ
τάδε χρή, ὅτι κτᾶσθαι μέν τι ἀγαθὸν καὶ ἰδιώταις καὶ πόλεσι
προσήκει, ὅταν ἐρρωμενέστατοι ὦσιν, ἵνα ἔχωσιν, ἐάν ποτ' ἀδύνα-
41 τοι γένωνται, ἐπικουρίαν τῶν προπεπονημένων. ὑμῖν δὲ νῦν ἐκ
θεῶν τινος καιρὸς παραγεγένηται, ἐὰν δεομένοις βοηθήσητε Λακε-
δαιμονίοις, κτήσασθαι τούτους εἰς τὸν ἅπαντα χρόνον φίλους ἀπρο-
φασίστους. καὶ γὰρ δὴ οὐκ ἐπ' ὀλίγων μοι δοκοῦσι μαρτύρων νῦν
ἂν εὖ παθεῖν ὑφ' ὑμῶν· ἀλλ' εἴσονται μὲν ταῦτα θεοὶ οἱ πάντα
ὁρῶντες καὶ νῦν καὶ εἰς ἀεί, συνεπίστανται δὲ τὰ γιγνόμενα οἵ τε
σύμμαχοι καὶ οἱ πολέμιοι, πρὸς δὲ τούτοις καὶ ἅπαντες Ἕλληνές
42 τε καὶ βάρβαροι· οὐδενὶ γὰρ τούτων ἀμελές. ὥστε, εἰ κακοὶ φα-
νείησαν περὶ ὑμᾶς, τίς ἄν ποτε ἔτι πρόθυμος εἰς αὐτοὺς γένοιτο;
ἐλπίζειν δὲ χρή πως ἄνδρας ἀγαθοὺς μᾶλλον ἢ κακοὺς αὐτοὺς
γενήσεσθαι· εἰ γάρ τινες ἄλλοι, καὶ οὗτοι δοκοῦσι διατετελεκέναι
43 ἐπαίνου μὲν ὀρεγόμενοι, αἰσχρῶν δὲ ἔργων ἀπεχόμενοι. πρὸς δὲ
τούτοις ἐνθυμήθητε καὶ τάδε. εἴ ποτε πάλιν ἔλθοι τῇ Ἑλλάδι
κίνδυνος ὑπὸ βαρβάρων, τίσιν ἂν μᾶλλον πιστεύσαιτε ἢ Λακεδαι-

---

zu **ἂν φανῆναι**, ist hypothetisch verallgemeinert (*ὅταν. γένωνται*) daher zeit- und dauerlos, nicht Inf. Praeter. — *πόρρω*] z. B. in Lacedäm. — *ὁπότε*] *quotiescumque*] mit Ind. vgl. V, 1, 31; korrespondiert mit *τὸ ... γενέσθαι*. — *οἵ συμμαχοῖεν ἄν*] vgl. V, 2, 23.

40. *ἀναφύγωσιν*] *τὸ ἀπολέσθαι*. — *πράγματα παρέχωσι*] „zu schaffen machen". — *φοβεῖσθαι*] Subj. *τινα* erg. aus *τις*, Obj. *τούτους* erg. aus *οὕς*, letzteres proleptisch zugleich als Subj. des Finalsatzes. — *τ. προπεπονημένων*] Genet. (subjectivus) des Inhaltes, „aus" oder „an".

41. *ὑμῖν δέ*] die vorhergehende Sentenz exemplifizierend. — *κτήσασθαι*] ohne *τοῦ* vgl. V, 4, 27. — *ἀπροφασίστους*] rückhaltlos, d. i. „untrüglich". — *ἐπ' ὀλ. ... μαρτύρων*] „vor ... Zeugen", konstruiert nach Analogie von *ἐπὶ ... βασιλέως*. — *εὖ παθεῖν ὑπ'*] passiv zu *εὖ ποιεῖν*. — *ἅπαντες*] ohne Artikel bei Wörtern wie *ἄνθρωποι* u. *Ἕλληνες*. — *ἀμελές*] mit Genet. unpersönlich gebraucht im Sinne von *οὐ μέλει*, „gleichgültig". — *πως*] „mit einigem Rechte".

42. *φανείησαν*] οἱ *Λακεδαιμόνιοι*. — *διατετελεκέναι*] mit Part. im D. adverbiell wie *τυγχάνω* u. a.

43. *ὑπὸ βαρβάρων*] *γενόμενος*, d. i.

μονίοις; τίνας δὲ ἂν παραστάτας ἥδιον τούτων ποιήσαισθε, ὧν γε καὶ οἱ ταχθέντες ἐν Θερμοπύλαις ἅπαντες εἵλοντο μαχόμενοι ἀποθανεῖν μᾶλλον ἢ ζῶντες ἐᾶν εἰςφέρεσθαι τὸν βάρβαρον τῇ Ἑλλάδι; πῶς οὖν οὐ δίκαιον ὧν τε ἕνεκα ἐγένοντο ἄνδρες ἀγαθοὶ μεθ᾽ ὑμῶν καὶ ὧν ἐλπὶς καὶ αὖθις γενέσθαι πᾶσαν προθυμίαν εἰς αὐτοὺς καὶ ὑμᾶς καὶ ἡμᾶς παρέχεσθαι; ἄξιον δὲ καὶ τῶν 44
παρόντων συμμάχων αὐτοῖς ἕνεκα προθυμίαν ἐνδείξασθαι. εὖ γὰρ ἴστε, ὅτι, οἵπερ τούτοις πιστοὶ διαμένουσιν ἐν ταῖς συμφοραῖς, οὗτοι καὶ ὑμῖν αἰσχύνοιντ᾽ ἂν μὴ ἀποδιδόντες χάριτας. εἰ δὲ μικραὶ δοκοῦμεν πόλεις εἶναι αἱ τοῦ κινδύνου μετέχειν αὐτοῖς ἐθέλουσαι, ἐνθυμήθητε, ὅτι, ἐὰν ἡ ὑμετέρα πόλις προσγένηται, οὐκέτι μικραὶ πόλεις ἐσόμεθα αἱ βοηθοῦσαι αὐτοῖς. ἐγὼ δέ, ὦ ἄνδρες 45
Ἀθηναῖοι, πρόσθεν μὲν ἀκούων ἐζήλουν τήνδε τὴν πόλιν, ὅτι πάντας καὶ τοὺς ἀδικουμένους καὶ τοὺς φοβουμένους ἐνθάδε καταφεύγοντας ἐπικουρίας ἤκουον τυγχάνειν· νῦν δ᾽ οὐκέτ᾽ ἀκούω, ἀλλ᾽ αὐτὸς ἤδη παρὼν ὁρῶ Λακεδαιμονίους τε τοὺς ὀνομαστοτάτους καὶ μετ᾽ αὐτῶν τοὺς πιστοτάτους φίλους αὐτῶν πρὸς ὑμᾶς τε ἥκοντας καὶ δεομένους αὖ ὑμῶν ἐπικουρῆσαι. ὁρῶ δὲ καὶ Θη- 46
βαίους, οἳ τότε οὐκ ἔπεισαν Λακεδαιμονίους ἐξανδραποδίσασθαι ὑμᾶς, νῦν δεομένους ὑμῶν περιιδεῖν ἀπολομένους τοὺς σώσαντας

ποιηθείς. — ὧν] Gen. poss. abh. von οἱ ταχθέντες = οἱ στρατιῶται, zugleich kausal = ὅτι τούτων. — εἰςφέρεσθαι] passiv „einfallen" mit Dat. incomm. — πῶς οὐ] vgl. V, 2, 15. — ὧν ἕνεκα ... καὶ ὧν] sc. ἕνεκα, Attractio Relat. = τούτων ἕνεκα ἅ, wobei ἅ als Acc. der Beziehung = ὅτι zu denken ist, vgl. 3, 13. — γενέσθαι] ohne ἄν nach ἐλπίς, vgl. V, 4, 7.

44. αὐτοῖς] wie § 33. — ἴστε] welcher Modus? — οἵπερ] σύμμαχοι; der Redner denkt zunächst an seine Landsleute in Phlius. — τούτοις] τοῖς Λακεδαιμονίοις. — καὶ ὑμῖν] ersteres verb. mit αἰσχύνοιντ', letzteres mit ἀποδιδόντες. — μὴ ἀποδιδόντες] hypothet. Particip, steht analog dem kausalen bei den Verben der Affekte. — αἱ ἐθέλουσαι ... αἱ βοηθοῦσαι] πόλεις ist Apposition zu dem in δοκοῦμεν liegenden Subjekt ἡμεῖς.

45. ὅτι ... ἤκουον] epexegetisch zu ἀκούων „beim bloſsen Hören" im Gegensatz zu παρὼν ὁρῶ. — φοβουμένους] μὴ ἀδικῶνται. — καταφεύγοντας] kausal zu τυγχάνειν. — τυγχάνειν] der Inf. wie V, 1, 25. — ὀνομαστοτάτους] Gegens. ἀδικουμένους. — αὖ] „jetzt ihrerseits" gegen die bisherigen Erfahrungen.

46. Θηβαίους] Danach waren auch Gesandte aus Theben anwesend, vielleicht auf die böotisch gesinnte Partei in Athen rechnend; eine Rede von ihnen ist aber nicht berichtet. — τότε] 404 v. Chr. als bekannter Zeitpunkt. — ἀπολομένους] νῦν. — σώ-

ὑμᾶς. τῶν μὲν οὖν ὑμετέρων προγόνων καλὸν λέγεται, ὅτε τοὺς Ἀργείων τελευτήσαντας ἐπὶ τῇ Καδμείᾳ οὐκ εἴασαν ἀτάφους γενέσθαι· ὑμῖν δὲ πολὺ κάλλιον ἂν γένοιτο, εἰ τοὺς ἔτι ζῶντας Λακε-
47 δαιμονίων μήτε ὑβρισθῆναι μήτε ἀπολέσθαι ἐάσαιτε. καλοῦ γε μὴν κἀκείνου ὄντος, ὅτε σχόντες τὴν Εὐρυσθέως ὕβριν διεσώσατε τοὺς Ἡρακλέους παῖδας, πῶς οὐ καὶ ἐκεῖνου τόδε κάλλιον, εἰ μὴ μόνον τοὺς ἀρχηγέτας, ἀλλὰ καὶ ὅλην τὴν πόλιν περισώσαιτε; πάντων δὲ κάλλιστον, εἰ ψήφῳ ἀκινδύνῳ σωσάντων ὑμᾶς τότε τῶν Λακεδαιμονίων, νῦν ὑμεῖς σὺν ὅπλοις τε καὶ διὰ κινδύνων ἐπι-
48 κουρήσετε αὐτοῖς. ὁπότε δὲ καὶ ἡμεῖς ἀγαλλόμεθα οἱ συναγορεύοντες βοηθῆσαι ἀνδράσιν ἀγαθοῖς, ἦπου ὑμῖν γε τοῖς ἔργῳ δυναμένοις βοηθῆσαι γενναῖα ἂν ταῦτα φανείη, εἰ πολλάκις καὶ φίλοι καὶ πολέμιοι γενόμενοι Λακεδαιμονίοις μὴ ὧν ἐβλάβητε μᾶλλον ἢ ὧν εὖ ἐπάθετε μνησθείητε καὶ χάριν ἀποδοίητε αὐτοῖς μὴ ὑπὲρ ὑμῶν αὐτῶν μόνον, ἀλλὰ καὶ ὑπὲρ πάσης τῆς Ἑλλάδος, ὅτι ἄνδρες ἀγαθοὶ ὑπὲρ αὐτῆς ἐγένοντο.

49 *Μετὰ ταῦτα ἐβουλεύοντο οἱ Ἀθηναῖοι, καὶ τῶν μὲν ἀντιλε-*

σαντες] *τότε*. — *καλόν*] sc. *τι πρᾶγμα*, **wozu der folgende Temporalsatz das** Subjekt ersetzt. — *λέγεται ὅτε*] nach Analogie von *μνησθῆναι ὅτε*, erg. *ἐξ ἐκείνου τοῦ χρόνου ὅτε*, vgl. 4, 5. — *Ἀργείων*] Sage vom Zuge der Sieben gegen Theben. — *ὑμῖν*] Dat. graec. bei dem passiven Verb *γένοιτο*. — *κάλλιον*] *πρᾶγμα*.

47. *κἀκείνου*] *πράγματος τότε γενομένου*, Subjekt der absoluten Participialkonstruktion. — *σχόντες*] = *ἐπισχόντες* vgl. 5, 4 P. explicat. — *κάλλιον*] *ἂν εἴη*. — *ἀρχηγέτας*] vgl. 3, 6. — *καλοῦ ... κάλλιον ... κάλλιστον*] Klimax wie 4, 28; vgl. auch 2, 9. — *ἀκινδύνου*] wobei sie nichts riskierten; durch diesen Zusatz wird *σωσάντων* konz.: während doch nur".

48. *ὁπότε*] eigentl. hypothet. Temporalsatz im Sinne des Mod. realis, vertritt den Kausalsatz *quandoquidem* „wenn schon = da schon". — *καὶ ἡμεῖς*] *vel nos*. — *ἀγαλλόμεθα*] *λόγῳ συναγορεύοντες*; vgl. § 31, wo auch zu *ἐπαύσαντο* aus dem Subjekt das Partic. zu ergänzen ist. — *οἱ συναγορεύοντες*] Appos. zu *ἡμεῖς* im Gegensatz zu *ὑμῖν τοῖς ἔργῳ δυναμένοις*. — *ἦπου*] „wohl sicherlich". Wie erklärt sich der Accent? Vgl. *ὧντινων, ὥστε* u. a. — *ταῦτα*] weist nicht auf *βοηθῆσαι* zurück, sondern korrespondiert, wie schon die Stellung und die Pluralform zeigt, mit den Sätzen *εἰ μνησθείητε καὶ ἀποδοίητε*. — *μὴ μᾶλλον ἤ*] *non magis quam*. — *ὧν ... ὧν*] Attract. Relat. — *ἐβλάβητε ... ἐπάθετε*] sc. *ὑπ' αὐτῶν*. — *μὴ μόνον*] „nicht etwa bloſs". — *ἐγένοντο*] „auftreten".

49. *τῶν μὲν ἀντιλεγόντων*] gegen den folgenden Beschluſs *βοηθεῖν* also proleptisch; im übrigen vgl. § 36. —

γόντων οὐκ ἠνείχοντο ἀκούοντες, ἐψηφίσαντο δὲ βοηθεῖν πανδημεὶ καὶ Ἰφικράτην στρατηγὸν εἵλοντο. ἐπεὶ δὲ τὰ ἱερὰ ἐγένετο καὶ παρήγγειλεν ἐν Ἀκαδημίᾳ δειπνοποιεῖσθαι, πολλοὺς ἔφασαν προτέρους αὐτοῦ Ἰφικράτους ἐξελθεῖν. ἐκ δὲ τούτου ἡγεῖτο μὲν ὁ Ἰφικράτης, οἱ δ' ἠκολούθουν, νομίζοντες ἐπὶ καλόν τι ἔργον ἡγήσεσθαι. ἐπεὶ δὲ ἀφικόμενος εἰς Κόρινθον διέτριβέ τινας ἡμέρας, εὐθὺς μὲν ἐπὶ ταύτῃ τῇ διατριβῇ πρῶτον ἔψεγον αὐτόν· ὡς δ' ἐξήγαγέ ποτε, προθύμως μὲν ἠκολούθουν ὅποι ἡγοῖτο, προθύμως δ', εἰ πρὸς τεῖχος προσάγοι, προσέβαλλον. τῶν δ' ἐν τῇ Λακε- 50
δαίμονι πολεμίων Ἀρκάδες μὲν καὶ Ἀργεῖοι καὶ Ἠλεῖοι πολλοὶ ἀπεληλύθεσαν, ἅτε ὅμοροι οἰκοῦντες, οἱ μὲν ἄγοντες οἱ δὲ φέροντες ὅ,τι ἡρπάκεσαν. οἱ δὲ Θηβαῖοι καὶ οἱ ἄλλοι τὰ μὲν καὶ διὰ τοῦτο ἀπιέναι ἐβούλοντο ἐκ τῆς χώρας, ὅτι ἑώρων ἐλάττονα τὴν στρατιὰν καθ' ἡμέραν γιγνομένην, τὰ δὲ ὅτι σπανιώτερα τὰ ἐπιτήδεια ἦν· τὰ μὲν γὰρ ἀνήλωτο, τὰ δὲ διήρπαστο, τὰ δὲ ἐξεκέχυτο, τὰ δὲ κατεκέκαυτο· πρὸς δ' ἔτι καὶ χειμὼν ἦν, ὥστ' ἤδη πάντες ἀπιέναι ἐβούλοντο. ὡς δ' ἐκεῖνοι ἀπεχώρουν ἐκ τῆς Λακε- 51
δαίμονος, οὕτω δὴ καὶ ὁ Ἰφικράτης τοὺς Ἀθηναίους ἀπῆγεν ἐκ τῆς Ἀρκαδίας εἰς Κόρινθον. εἰ μὲν οὖν ἄλλο τι καλῶς ἐστρατήγησεν, οὐ ψέγω· ἐκεῖνα μέντοι, ἃ ἐν τῷ χρόνῳ ἐκείνῳ ἔπραξε, πάντα εὑρίσκω τὰ μὲν μάτην, τὰ δὲ καὶ ἀσυμφόρως πεπραγμένα αὐτῷ. ἐπιχειρήσας μὲν γὰρ φυλάττειν ἐπὶ τῷ Ὀνείῳ, ὅπως μὴ δύναιντο οἱ Βοιωτοὶ ἀπελθεῖν οἴκαδε, παρέλιπεν ἀφύλακτον τὴν καλλίστην παρὰ Κεγχρειὰς πάροδον. μαθεῖν δὲ βουλόμενος, εἰ 52
παρεληλυθότες εἶεν οἱ Θηβαῖοι τὸ Ὄνειον, ἔπεμψε σκοποὺς τούς τε Ἀθηναίων ἱππέας καὶ τοὺς Κορινθίων ἅπαντας. καίτοι ἰδεῖν

Ἰφικράτης] zuletzt erwähnt 4, 1 gelegentlich seiner Abberufung von Korcyra. — ἐγένετο] sc. εὖ „gut ablaufen". — Ἀκαδημίᾳ] Platz am Cephisos, sechs Stadien nördlich von Athen mit vielen Baumpflanzungen, Statuen und Altären. — ἐξελθεῖν] ἐκ τοῦ δείπνου ἐπὶ τὸ ἔργον. — ποτε] *tandem aliquando*.

50. ἄγοντες ... φέροντες] lebende und tote Beute. — καὶ διά] „schon wegen". — χώρας] Λακεδαιμονίων.

51. ὡς ... οὕτω] Die komparative Satzverbindung nimmt einen kausalen Sinn an. — δή] ironisch „natürlich". — εἰ μέν] *si quidem*, fast kausal bei ψέγω wie bei θαυμάζω. — ἄλλο τι] ἐν τῷ πρότερον χρόνῳ. — Ὄνειον] Gebirgszug am Isthmus im SO. von Korinth. — Κεγχρειάς] Κεγχρειαί Nebenf. Κεγχρέαι, Hafen von Korinth, am saronischen Meerb.; vgl. IV, 5, 1. — κάλλιστον] *commodissimum*.

μὲν οὐδὲν ἧττον ὀλίγοι τῶν πολλῶν ἱκανοί· εἰ δὲ δέοι ἀποχωρεῖν, πολὺ ῥᾷον τοῖς ὀλίγοις ἢ τοῖς πολλοῖς καὶ ὁδοῦ εὐπόρου τυχεῖν καὶ καθ᾽ ἡσυχίαν ἀποχωρῆσαι· τὸ δὲ πολλούς τε προσάγειν καὶ ἥττονας τῶν ἐναντίων πῶς οὐ πολλὴ ἀφροσύνη; καὶ γὰρ δὴ ὅτε ἐπὶ πολὺ παραταξάμενοι χωρίον οἱ ἱππεῖς διὰ τὸ πολλοὶ εἶναι, ἐπεὶ ἔδει ἀποχωρεῖν, πολλῶν καὶ χαλεπῶν χωρίων ἐπελάβοντο· ὥστε οὐκ ἐλάττους ἀπώλοντο εἴκοσιν ἱππέων. καὶ τότε μὲν οἱ Θηβαῖοι ὅπως ἐβούλοντο ἀπῆλθον.

---

52. *ἧττον*] verbinde mit *ἱκανοί*. — *καὶ ἧττ.*] „und zwar". — *δή*] in der That. — *παραταξάμενοι*] in langer Schlachtreihe. — *ἐπελάβοντο*] „berühren", d. i. „geraten in".

SIEBENTES BUCH.

Τῷ δ' ὑστέρῳ ἔτει* Λακεδαιμονίων καὶ τῶν συμμάχων πρέ- 1
σβεις ἦλθον αὐτοκράτορες Ἀθήναζε, βουλευσόμενοι, καθ' ὅ,τι ἡ συμμαχία Λακεδαιμονίοις καὶ Ἀθηναίοις ἔσοιτο. λεγόντων δὲ πολλῶν μὲν ξένων, πολλῶν δὲ Ἀθηναίων, ὡς δέοι ἐπὶ τοῖς ἴσοις καὶ ὁμοίοις τὴν συμμαχίαν εἶναι, Προκλῆς Φλιάσιος εἶπε τὸν λόγον τόνδε·

Ἐπείπερ, ὦ ἄνδρες Ἀθηναῖοι, ἀγαθὸν ὑμῖν ἔδοξεν εἶναι 2
Λακεδαιμονίους φίλους ποιεῖσθαι, δοκεῖ μοι χρῆναι τοῦτο σκοπεῖν, ὅπως ἡ φιλία ὅτι πλεῖστον χρόνον συμμενεῖ. ἐὰν οὖν ᾗ ἑκατέροις μάλιστα συνοίσει, ταύτῃ καὶ τὰς συνθήκας ποιησώμεθα, οὕτω κατά γε τὸ εἰκὸς μάλιστα συμμένοιμεν ἄν. τὰ μὲν οὖν ἄλλα

Kap. 1. § 1/11: Beratung über das Bündnis zwischen Athen und Sparta. Rede des Phliasiers Prokles (369 v. Chr.). — § 12/14: Gegenvorschlag des Cephisodotos von Athen (369). — § 15/17: Zweiter Zug des Epaminondas in den Peloponnes (369). — § 18/19: Einnahme von Sicyon. Gefecht bei Korinth (369). — § 20/22: Erste Hilfesendung des Dionysios. Abzug der Thebaner (369). — § 23/26: Lykomedes und die Arkader. Ihr Zerwürfnis mit den Eleern (368). — § 27: Versuch einer Friedensvermittelung durch Ariobarzanes (368). — § 28/32: Zweite Hilfesendung des Dionysios. Sieg des Archidamos über die Arkader (368). — § 33/38: Kongreß griechischer Gesandten in Susa (368). — § 39/40: Vereitelung des Kongresses in Theben (367). — § 41/46: Dritter Zug des Epaminondas in den Peloponnes. Umsturz seiner Anordnungen in Achaja durch die Gegenpartei. Euphrons Gewaltherrschaft in Sicyon (367).

1. *καθ' ὅτι*] „auf welcher Grundlage". — *ἡ συμμαχία*] Zur Sache vgl. VI, 5, 49. — *λεγόντων*] kausales Part. Imperf. — *ἐπὶ τοῖς ἴσοις καὶ ὁμοίοις*] Pleonasmus „unter völlig gleichen Rechten und Pflichten". — *Προκλῆς*] derselbe Redner wie VI, 5, 38.

2. *ἀγαθὸν εἶναι*] gewöhnlich bei *ἔδοξεν* fehlend; korrespondiert hier in chiastischer Stellung mit *δοκεῖ μοι χρῆναι*. — *καὶ τὰς συνθ.*] vgl. V, 4, 12. — *οὕτω*] epanaleptisch zum Konditionalsatz, vgl. VI, 5, 22. — *κατὰ*

σχεδόν τι συνωμολόγηται, περὶ δὲ τῆς ἡγεμονίας νῦν ἡ σκέψις.
τῇ μὲν οὖν βουλῇ προβεβούλευται ὑμετέραν μὲν εἶναι τὴν κατὰ
θάλατταν, Λακεδαιμονίων δὲ τὴν κατὰ γῆν· ἐμοὶ δὲ καὶ αὐτῷ
δοκεῖ ταῦτα οὐκ ἀνθρωπίνῃ μᾶλλον ἢ θείᾳ φύσει τε καὶ τύχῃ
3 *διωρίσθαι. πρῶτον μὲν γὰρ τόπον ἔχετε κάλλιστα πεφυκότα*
πρὸς τοῦτο· πλεῖσται γὰρ πόλεις τῶν δεομένων τῆς θαλάττης
περὶ τὴν ὑμετέραν πόλιν οἰκοῦσι, καὶ αὗται πᾶσαι ἀσθενέστεραι
τῆς ὑμετέρας. πρὸς τούτοις δὲ λιμένας ἔχετε, ὧν ἄνευ οὐχ οἷόν
τε ναυτικῇ δυνάμει χρῆσθαι. ἔτι δὲ τριήρεις κέκτησθε πολλὰς
4 *καὶ πάτριον ὑμῖν ἐστι ναυτικὸν ἐπικτᾶσθαι. ἀλλὰ μὴν τάς γε*
τέχνας τὰς περὶ ταῦτα πάσας οἰκείας ἔχετε. καὶ μὴν ἐμπειρίᾳ
γε πολὺ προέχετε τῶν ἄλλων περὶ τὰ ναυτικά· ὁ γὰρ βίος τοῖς
πλείστοις ὑμῶν ἀπὸ τῆς θαλάττης· ὥστε τῶν ἰδίων ἐπιμελόμενοι
ἅμα καὶ τῶν κατὰ θάλατταν ἀγώνων ἔμπειροι γίγνεσθε. ἔτι δὲ
καὶ τόδε· οὐδαμόθεν ἂν τριήρεις πλείους ἀθρόαι ἐκπλεύσειαν ἢ
παρ᾽ ὑμῶν. ἔστι δὲ τοῦτο οὐκ ἐλάχιστον πρὸς ἡγεμονίαν· πρὸς
5 *γὰρ τὸ πρῶτον ἰσχυρὸν γενόμενον ἥδιστα πάντες συλλέγονται. ἔτι*
δὲ καὶ ἀπὸ τῶν θεῶν δέδοται ὑμῖν εὐτυχεῖν ἐν τούτῳ· πλείστους
γὰρ καὶ μεγίστους ἀγῶνας ἠγωνισμένοι κατὰ θάλατταν ἐλάχιστα
μὲν ἀποτετυχήκατε, πλεῖστα δὲ κατωρθώκατε. εἰκὸς οὖν καὶ τοὺς
συμμάχους μεθ᾽ ὑμῶν ἂν ἥδιστα τούτου τοῦ κινδύνου μετέχειν.

τὸ εἰκός] nach aller Wahrscheinlichkeit". — *σκέψις*] ohne Verbum wie *ἀνάγκη, τεκμήριον* u. a. — *προβεβούλευται*] Der Beschlufsfassung der *ἐκκλησία* ging eine Vorlage des Rates voraus, *προβούλευμα*, *senatus consultum*. — *τὴν κατὰ θ.*] das Subst. ist aus dem Sinne zu ergänzen. — *οὐ μᾶλλον ἤ*] „nicht sowohl, als vielmehr". — *φύσει*] „Anordnung". — *τύχῃ*] „Fügung".

3. *πρῶτον μέν*] der erste unter acht Punkten. — *τοῦτο*] *τὴν κ. θ. ἡγεμονίαν*. — *δεομένων*] „angewiesen sein", andere Wendung § 4. — *οἰκοῦσι*] Personifikation. — *καὶ αὗται*] „*et eae quidem*". — *ἄνευ*] hier beim Relat. postpositiv. — *πάτριον*] *ἔθος*. — *ἐπικτᾶσθαι*] die Präposition urgiert den Gegensatz zu *κέκτησθε*.

4. *ἀλλὰ μήν γε*] „ferner"; vgl. V, 2, 17. — *βίος*] *ἐστίν*, vgl. § 2. — *ἀπό τῆς θ.*] Die räumliche Bedeutung geht in die instrumentale über. — *τῶν ἰδίων*] „Privatbeschäftigung". — *καὶ τόδε*] *σκεπτέον ἐστίν*. — *πρῶτον*] zeitlich und räumlich. — *γενόμενον*] sc. *ναυτικόν* oder ein ähnlicher genereller Begriff.

5. *ἀπὸ τ. θ.*] „vonseiten d. G.", vgl. V, 4, 60. — *ἐν τούτῳ*] vgl. *τοῦτο* § 3. — *κατωρθώκατε*] absolut; erg. *τὴν τύχην*. — *μεθ᾽ ὑμῶν*] betont. — *ἂν ... μετέχειν*] Inf. potent., dessen Vordersatz in *μεθ᾽ ὑμῶν* liegt, läfst *εἰκός* hier als Verb. put. erkennen. —

ὡς δὲ δὴ καὶ ἀναγκαία καὶ προσήκουσα ὑμῖν αὕτη ἡ ἐπιμέλεια, ἐκ τῶνδε ἐνθυμήθητε. Λακεδαιμόνιοι ὑμῖν ἐπολέμουν ποτὲ πολλὰ 6
ἔτη καὶ κρατοῦντες τῆς χώρας οὐδὲν προὔκοπτον εἰς τὸ ἀπολέσαι ὑμᾶς. ἐπεὶ δ' ὁ θεὸς ἔδωκέ ποτε αὐτοῖς κατὰ θάλατταν ἐπικρατῆσαι, εὐθὺς ὑπ' ἐκείνοις παντελῶς ἐγένεσθε. οὐκοῦν εὔδηλον ἐν τούτοις ἐστίν, ὅτι ἐκ τῆς θαλάττης ἅπασα ὑμῖν ἤρτηται ἡ σωτηρία. οὕτως οὖν πεφυκότων πῶς ἂν ἔχοι καλῶς ὑμῖν Λακε- 7
δαιμονίοις ἐπιτρέψαι κατὰ θάλατταν ἡγεῖσθαι, οἳ πρῶτον μὲν καὶ αὐτοὶ ὁμολογοῦσιν ἀπειρότεροι ὑμῶν τούτου τοῦ ἔργου εἶναι, ἔπειτα δ' οὐ περὶ τῶν ἴσων ὁ κίνδυνός ἐστιν ἐν τοῖς κατὰ θάλατταν ἀγῶσιν, ἀλλ' ἐκείνοις μὲν περὶ τῶν ἐν ταῖς τριήρεσι μόνων ἀνθρώπων, ὑμῖν δὲ καὶ περὶ παίδων καὶ γυναικῶν καὶ ὅλης τῆς πόλεως. καὶ τὰ μὲν δὴ ὑμέτερα οὕτως ἔχει· τὰ δὲ δὴ τῶν Λακε- 8
δαιμονίων ἐπισκέψασθε. πρῶτον μὲν γὰρ οἰκοῦσιν ἐν μεσογαίᾳ· ὥστε τῆς γῆς κρατοῦντες καὶ εἰ θαλάττης εἴργοιντο, δύναιντ' ἂν καλῶς διαζῆν. ἐγνωκότες οὖν καὶ οὗτοι ταῦτα εὐθὺς ἐκ παίδων πρὸς τὸν κατὰ γῆν πόλεμον τὴν ἄσκησιν ποιοῦνται. καὶ τὸ πλείστου δὲ ἄξιον, τὸ πείθεσθαι τοῖς ἄρχουσιν, οὗτοι μὲν κράτιστοι

δὲ δὴ] ersteres kopulativ, letzteres erklärend. — ἀναγκαία καὶ προσήκουσα] sc. ἐστίν, ersteres objektiv, letzteres subjektiv.

6. κρατοῦντες] im Anfang und am Ende des peloponn. Krieges. — προὔκοπτον] *proficere*. — κατὰ θάλατταν] bei Ägospotamoi, vgl. II, 1, 21. — ὑπ' ἐκ ... ἐγένεσθε] Unterwerfung in allen Beziehungen, während ἐπί τινι γίγνεσθαι nur den augenblicklichen Einfluſs eines anderen bezeichnet. — οὐκοῦν] ohne Fragezeichen, vgl. V, 4, 31. — ἤρτηται ... ἐκ] wie *pendere* mit dem Terminus *a quo*.

7. πεφυκότων] sc. τῶν πραγμάτων, ähnlich wie bei ἐχόντων, προχωρούντων. — πῶς] rhetor., vgl. V, 2, 15. — ἐπιτρέψαι] Wenn dies nicht wirklich beabsichtigt wurde, so fingiert es der Redner, um Athen eklatante Zugeständnisse zu machen, vgl. § 12 ἐξαπατώμενοι. — οἳ ... ὁμολογοῦσι] kausal. — ὑμῶν τούτου τ. ἐ.] wovon hängt jeder dieser Genetive ab? — ἔπειτα δέ] paratakt. Übergang aus dem Relativsatz in die Form eines Hauptsatzes, während man οἷς erwartet. — καὶ περὶ παίδων] καί auch im Gegens. zu μόνων.

8. δὲ δή] vgl. § 5. — κρατοῦντες] hypoth. Vordersatz. — καὶ εἰ] konzessiv untergeordnet zu καλῶς διαζῆν; vgl. VI, 2, 27. — καὶ οὗτοι] wie wir andern. — ἐκ παίδων] *a pueris*. — τὴν ἄσκησιν ποιοῦνται] = ἀσκεῖν, substantivische Periphrase häufig bei Thucydides und Xenophon. — καὶ τὸ ... ἄξιον] durch einen Relativsatz zu geben, vgl. VI, 3, 8; dazu steht epexegetisch der Infin. τὸ πείθεσθαι; beide Wendungen sind als Accus. der Beziehung zu κράτιστοι aufzufassen.

9 κατὰ γῆν, ὑμεῖς δὲ κατὰ θάλατταν. ἔπειτα δὲ ὥσπερ ὑμεῖς ναυτικῷ, οὕτως αὖ ἐκεῖνοι κατὰ γῆν πλεῖστοι καὶ τάχιστ' ἂν ἐξέλθοιεν· ὥστε πρὸς τούτους αὖ εἰκὸς τοὺς συμμάχους εὐθαρσεστάτους προσιέναι. ἔτι δὲ καὶ ὁ θεὸς αὐτοῖς δέδωκεν, ὥσπερ ὑμῖν κατὰ θάλατταν εὐτυχεῖν, οὕτως ἐκείνοις κατὰ γῆν· πλείστους γὰρ αὖ οὗτοι ἀγῶνας ἐν τῇ γῇ ἠγωνισμένοι ἐλάχιστα μὲν ἐσφαλμένοι εἰσί,
10 πλεῖστα δὲ κατωρθωκότες. ὡς δὲ καὶ ἀναγκαία οὐδὲν ἧττον τούτοις ἡ κατὰ γῆν ἐπιμέλεια ἢ ὑμῖν ἡ κατὰ θάλατταν, ἐκ τῶν ἔργων ἔξεστι γιγνώσκειν. ὑμεῖς γὰρ τούτοις πολλὰ ἔτη πολεμοῦντες καὶ πολλάκις καταναυμαχοῦντες οὐδὲν προὔργου ἐποιεῖτε πρὸς τὸ τούτους καταπολεμῆσαι· ἐπεὶ δὲ ἅπαξ ἡττήθησαν ἐν τῇ γῇ, εὐθὺς καὶ περὶ παίδων καὶ περὶ γυναικῶν καὶ περὶ ὅλης τῆς
11 πόλεως ὁ κίνδυνος αὐτοῖς ἐγένετο. πῶς οὖν οὐ τούτοις αὖ δεινὸν ἄλλοις μὲν ἐπιτρέπειν κατὰ γῆν ἡγεῖσθαι, αὐτοὺς δὲ ἄριστα τῶν κατὰ γῆν ἐπιμελεῖσθαι; ἐγὼ μὲν οὖν, ὥσπερ τῇ βουλῇ προβεβούλευται, ταῦτα εἴρηκά τε καὶ συμφορώτατα ἡγοῦμαι ἀμφοῖν εἶναι· ὑμεῖς δὲ εὐτυχοῖτε τὰ κράτιστα πᾶσιν ἡμῖν βουλευσάμενοι.

12 Ὁ μὲν ταῦτ' εἶπεν. οἱ δ' Ἀθηναῖοί τε καὶ οἱ τῶν Λακεδαιμονίων παρόντες ἐπῄνεσαν ἀμφότεροι ἰσχυρῶς τὸν λόγον αὐτοῦ. Κηφισόδοτος δὲ παρελθών, Ἄνδρες Ἀθηναῖοι, ἔφη, οὐκ αἰσθάνεσθε ἐξαπατώμενοι· ἀλλ' ἐὰν ἀκούσητέ μου, ἐγὼ ὑμῖν αὐτίκα μάλα ἐπιδείξω. ἤδη γὰρ ἡγήσεσθε κατὰ θάλατταν· Λακεδαιμόνιοι δὲ ὑμῖν ἐὰν συμμαχῶσι, δῆλον ὅτι πέμψουσι τοὺς μὲν τριηράρχους Λακεδαιμονίους καὶ ἴσως τοὺς ἐπιβάτας, οἱ δὲ ναῦται δῆλον ὅτι

---

9. αὖ] „ihrerseits". — εἰκός] wie § 5. — καὶ ἀναγκαία] nicht blofs wünschenswert.

10. ἔξεστι γιγνώσκειν] = ἐνθυμήθητε § 5. — οὐδὲν προὔργου ἐποιεῖτε πρός] = οὐδὲν προὔκοπτον εἰς § 6. προὔργου = πρὸ ἔργου „förderlich", analog φροῦδος = πρὸ ὁδοῦ. — ἅπαξ] stärker als ποτέ, bei Leuktra. — καὶ περί] wie § 7.

11. ἄλλοις μὲν ... αὐτοὺς δέ] konzessive Parataxis; im D. „während" beim zweiten Satze, nicht wie gewöhnlich beim ersten Satze. — προβεβούλευται ... συμφορώτατα ἡγοῦμαι] Der Schlufs der sorgfältig disponierten Rede kehrt harmonisch nach dem Parallelismus § 3—7 = § 8—10 zum Thema des Eingangs zurück. — εὐτυχοῖτε] formelhafter Segenswunsch am Schlufs der Rede.

12. Κηφισόδοτος] Gesandter bereits beim Friedenskongrefs 371, vgl. VI, 3, 2. — ἐπιδείξω] ὑμᾶς ἐξαπατωμένους. — ἤδη] κατὰ ταύτην τὴν γνώμην, ironisch „nunmehr also". — τοὺς μὲν τριηράρχους] beschränkend „allenfalls". — Λακεδαιμονίους] prä-

ἔσονται ἢ Εἵλωτες ἢ μισθοφόροι. οὐκοῦν ὑμεῖς μὲν τούτων ἡγήσεσθε. οἱ δὲ Λακεδαιμόνιοι ὅταν παραγγείλωσιν ὑμῖν κατὰ γῆν 13 στρατείαν, δῆλον ὅτι πέμψετε τοὺς ὁπλίτας καὶ τοὺς ἱππέας. οὐκοῦν οὕτως ἐκεῖνοι μὲν ὑμῶν αὐτῶν γίγνονται ἡγεμόνες, ὑμεῖς δὲ τῶν ἐκείνων δούλων καὶ ἐλαχίστου ἀξίων. ἀπόκριναι δέ μοι, ἔφη, ὦ Λακεδαιμόνιε Τιμόκρατες, οὐκ ἄρτι ἔλεγες, ὡς ἐπὶ τοῖς ἴσοις καὶ ὁμοίοις ἥκοις τὴν συμμαχίαν ποιούμενος; „Εἶπον ταῦτα." Ἔστιν οὖν, ἔφη ὁ Κηφισόδοτος, ἰσαίτερον ἢ ἐν μέρει μὲν ἑκατέρους 14 ἡγεῖσθαι τοῦ ναυτικοῦ, ἐν μέρει δὲ τοῦ πεζοῦ καὶ ὑμᾶς τε εἴ τι ἀγαθόν ἐστιν ἐν τῇ κατὰ θάλατταν ἀρχῇ, τούτων μετέχειν καὶ ἡμᾶς ἐν τῇ κατὰ γῆν; ἀκούσαντες ταῦτα οἱ Ἀθηναῖοι μετεπείσθησαν καὶ ἐψηφίσαντο κατὰ πενθήμερον ἑκατέρους ἡγεῖσθαι.

Στρατευομένων δ' ἀμφοτέρων αὐτῶν καὶ τῶν συμμάχων εἰς 15 Κόρινθον ἔδοξε κοινῇ φυλάττειν τὸ Ὄνειον. καὶ ἐπεὶ ἐπορεύοντο οἱ Θηβαῖοι καὶ οἱ σύμμαχοι, παραταξάμενοι ἐφύλαττον ἄλλοι ἄλλοθι τοῦ Ὀνείου, Λακεδαιμόνιοι δὲ καὶ Πελληνεῖς κατὰ τὸ ἐπιμαχώτατον. οἱ δὲ Θηβαῖοι καὶ οἱ σύμμαχοι ἐπεὶ ἀπεῖχον τῶν φυλαττόντων τριάκοντα στάδια, κατεστρατοπεδεύσαντο ἐν τῷ

---

dikativ im Sinne von: *οἱ τριηρ. οὓς πέμψουσι, Λακεδ. ἔσονται.* — *ἐπιβάτας*] „Seesoldaten", vgl. V, 1, 11. — *ναῦται*] „Matrosen". — *Εἵλωτες ἢ μισθοφόροι*] also wenig wertvolle Soldaten im Gegensatz zu § 13 *ὁπλίτας καὶ ἱππέας* d. i. freie athen. Bürger. — *τῶν ἐκείνων*] beachte die Stellung. — *ἐκείνων*] Gen. possess. zu *δούλων.* — *οὐκοῦν*] vgl. § 6; hier ironisches Zugeständnis.

13. *παραγγείλωσι στρατείαν*] attische Formel für die lacedämonische *φρουρὰν φαίνειν*, „einen Feldzug ankündigen und anordnen". — *ἄρτι ἔλεγες*] oben § 1 unbestimmter angedeutet. — *ποιούμενος*] T. de conatu.

14. *ἰσαίτερον*] *τι*, vgl. VI, 2, 39, „gröfsere Gleichberechtigung". — *ἐν μέρει*] „abwechselnd". — *εἴ τι*] = *ὅ,τι* kollektiv, deshalb nachher *τούτων.* — *ἀγαθόν*] „Vorteil". — *ἡμᾶς*] sc. *εἴ τι ἀγαθόν ἐστιν ἐν τ. κ. γ. τούτων μετέχειν.* — *κατὰ πενθήμερον*] Dieser Beschlufs machte eine einheitliche Führung unmöglich.

15. *ἀμφοτέρων*] die nunmehr verbündeten Lacedämonier und Athener, mit letzteren auch die Söldner des Chabrias, vgl. § 25. — *ἔδοξε*] *τοῖς ἡγεμόσιν.* — *Ὄνειον*] vgl. VI, 5, 51. — *ἐφύλαττον*] Subj. *ἀμφότεροι.* — *τοῦ Ὀνείου*] lokativer Gen. partit. abh. von *ἄλλοθι.* Hier kamen drei Pässe, Lechäon, Kenchreä und die Teneaschlucht in Betracht. — *Πελληνεῖς*] vgl. IV, 2, 20. Pellene] St. im N. von Achaja, an der Grenze von Sicyon. — *ἐπιμαχώτατον*] nämlich der westliche Strandpafs von Lechäon. — *συντεκμηράμενοι*] „abschätzen", eigentlich aus mehreren Zeichen zusammen

πεδίῳ. συντεκμηράμενοι δέ, ἡνίκ᾽ ἂν ᾤοντο ὁρμηθέντες κατανύσαι ἅμα κνέφᾳ, πρὸς τὴν τῶν Λακεδαιμονίων φυλακὴν ἐπορεύοντο.
16 καὶ μέντοι οὐκ ἐψεύσθησαν τῆς ὥρας, ἀλλ᾽ ἐπιπίπτουσι τοῖς Λακεδαιμονίοις καὶ τοῖς Πελληνεῦσιν, ἡνίκα αἱ μὲν νυκτεριναὶ φυλακαὶ ἤδη ἔληγον, ἐκ δὲ τῶν στιβάδων ἀνίσταντο, ὅποι ἐδεῖτο ἕκαστος. ἐνταῦθα οἱ Θηβαῖοι προσπεσόντες ἔπαιον παρεσκευα-
17 σμένοι ἀπαρασκευάστους καὶ συντεταγμένοι ἀσυντάκτους. ὡς δὲ οἱ σωθέντες ἐκ τοῦ πράγματος ἀπέφυγον ἐπὶ τὸν ἐγγύτατα λόφον, ἐξὸν τῷ Λακεδαιμονίων πολεμάρχῳ λαβόντι ὁπόσους μὲν ἐβούλετο τῶν συμμάχων ὁπλίτας, ὁπόσους δὲ πελταστάς, κατέχειν τὸ χωρίον, — καὶ γὰρ τὰ ἐπιτήδεια ἐξῆν ἀσφαλῶς ἐκ Κεγχρειῶν κομίζεσθαι, — οὐκ ἐποίησε ταῦτα, ἀλλὰ μάλα ἀπορούντων τῶν Θηβαίων, πῶς χρὴ ἐκ τοῦ πρὸς Σικυῶνα βλέποντος καταβῆναι ἢ πάλιν ἀπελθεῖν, σπονδὰς ποιησάμενος, ὡς τοῖς πλείστοις ἐδόκει, πρὸς Θηβαίων μᾶλλον ἢ πρὸς ἑαυτῶν, οὕτως ἀπῆλθε καὶ τοὺς μεθ᾽ αὑτοῦ ἀπήγαγεν.

18 Οἱ δὲ Θηβαῖοι ἀσφαλῶς καταβάντες καὶ συμμίξαντες τοῖς ἑαυτῶν συμμάχοις, Ἀρκάσι τε καὶ Ἀργείοις καὶ Ἠλείοις, εὐθὺς μὲν προσέβαλον πρὸς Σικυῶνα καὶ Πελλήνην· στρατευσάμενοι δὲ εἰς Ἐπίδαυρον ἐδῄωσαν αὐτῶν πᾶσαν τὴν χώραν. ἀναχωροῦντες δὲ ἐκεῖθεν μάλα πάντων ὑπεροπτικῶς τῶν ἐναντίων, ὡς ἐγένοντο ἐγγὺς τοῦ Κορινθίων ἄστεος, δρόμῳ ἐφέροντο πρὸς τὰς πύλας

---

schließen. — ἡνίκα] Relativ für das Interrogativ, wie VI, 1, 8, verb. mit ὁρμηθέντες, während ἂν zum Inf. potentialis κατανύσαι gehört, vgl. V, 1, 15. — κατανύσαι] τὴν ὁδόν, vgl. V, 4, 20. 49. — ἅμα κνέφᾳ] noch früher als ἅμ᾽ ἕῳ; *primo diluculo*.

16. καὶ μέντοι] *et vero*, vgl. V, 4, 51. — τῆς ὥρας] Resultat des συντεκμηράμενοι ἡνίκα. — στιβάδων] „Streu". — ἀνίσταντο] prägn. sc. ἰόντες ὅποι ἐδεῖτο ἰέναι, vgl. II, 4, 6.

17. πράγματος] metonym. = μάχης. — ἐξόν] konzess. Acc. absol. — λαβόντι] Attraktion zum log. Subjekt beim Inf. κατέχειν. — ὁπόσους μὲν ... δέ] kopulativ, „teils ... teils". — πελταστάς] sc. ἐβούλετο λαβεῖν. — Κεγχρειῶν] vgl. VI, 5, 51. — ἐποίησε] ὁ πολέμαρχος. — πρὸς Σικυῶνα] nach W., also nach dem Peloponnes zu. — βλέποντος] sc. χωρίου, *spectare ad*. — ἀπελθεῖν] nach N. — ἐδόκει] bezieht sich auf die nächstfolgenden Worte. — πρὸς Θηβαίων] *ex usu (commodo)* Theb. — ἑαυτῶν] ἑαυτοῦ καὶ τῶν ἑαυτοῦ vgl. IV, 8, 24. — οὕτως] epanaleptisch wozu?

18. προσέβαλον] der Erfolg ist nicht angegeben, daher στρατευσάμενοι δέ „sodann" u. s. w. — Ἐπίδαυρος] St. an der Ostküste von Argos. — αὐτῶν] τῶν Ἐπιδαυρίων. — μάλα] verb. mit ὑπεροπτικῶς, welches, wie alle Verbal-

τὰς ἐπὶ Φλιοῦντα ἰόντι, ὡς, εἰ ἀνεῳγμέναι τύχοιεν, εἰσπεσούμενοι. ἐκβοηθήσαντες δέ τινες ψιλοὶ ἐκ τῆς πόλεως ἀπαντῶσι τῶν Θη- 19 βαίων τοῖς ἐπιλέκτοις οὐδὲ τέτταρα πλέθρα ἀπέχουσι τοῦ τείχους· καὶ ἀναβάντες ἐπὶ τὰ μνήματα καὶ τὰ ὑπερέχοντα χωρία βάλλοντες καὶ ἀκοντίζοντες ἀποκτείνουσι τῶν πρώτων καὶ μάλα συχνοὺς καὶ τρεψάμενοι ἐδίωκον ὡς τρία ἢ τέτταρα στάδια. τούτου δὲ γενομένου οἱ Κορίνθιοι τοὺς νεκροὺς πρὸς τὸ τεῖχος ἑλκύσαντες καὶ ὑποσπόνδους ἀποδόντες τρόπαιον ἔστησαν. καὶ ταύτῃ μὲν ἀνεψύχθησαν οἱ τῶν Λακεδαιμονίων σύμμαχοι.

Ἅμα δὲ δὴ πεπραγμένων τούτων καταπλεῖ Λακεδαιμονίοις 20 ἡ παρὰ Διονυσίου βοήθεια, τριήρεις πλέον ἢ εἴκοσιν· ἦγον δὲ Κελτούς τε καὶ Ἴβηρας καὶ ἱππεῖς ὡς πεντήκοντα. τῇ δ' ὑστεραίᾳ οἱ Θηβαῖοί τε καὶ οἱ ἄλλοι αὐτῶν σύμμαχοι διαταξάμενοι καὶ ἐμπλήσαντες τὸ πεδίον μέχρι τῆς θαλάττης καὶ μέχρι τῶν ἐχομένων τῆς πόλεως γηλόφων ἔφθειρον εἴ τι χρήσιμον ἦν ἐν τῷ πεδίῳ. καὶ οἱ μὲν τῶν Ἀθηναίων καὶ οἱ τῶν Κορινθίων ἱππεῖς οὐ μάλα ἐπλησίαζον τῷ στρατεύματι, δρῶντες ἰσχυρὰ καὶ πολλὰ τἀντίπαλα· οἱ δὲ παρὰ τοῦ Διονυσίου ἱππεῖς, ὅσοιπερ ἦσαν, οὗτοι 21

---

adjektiva auf *ικός* den Gen. objectiv. regiert. — *τὰς ἐπὶ Φλιοῦντα ἰόντι*] *τὰς ἐπὶ Φλ. φερούσας ἰόντι* sc. *τινί*, das Thor, welches nach Phl. führt, d. h. benutzt wird, wenn man nach Phl. geht, das Westthor von Korinth. Über den Dat. Partic. vgl. III, 4, 11.

19. *ψιλοί*] offenbar Leute des Chabrias. — *πόλεως*] *Κορίνθου*. — *τοῖς ἐπιλέκτοις*] die heilige Schar der auserlesenen 300. — *τέτταρα πλέθρα*] 123 Meter. 1 Stadion = 6 Plethra. — *μνήματα*] vgl. VI, 2, 20. — *καὶ μάλα*] „sogar sehr", vgl. IV, 1, 25. — *ὑποσπόνδους ... τρόπαιον*] vgl. VI, 2, 24. — *ἀνεψύχθησαν*] „wieder aufatmen"; die Verba der physischen Bewegung und des geistigen Affektes stellen sich meist als Passiva dar.

20. *ἅμα ... πεπραγμένων*] beachte das Part. exact. „gerade zu der Zeit, wo ... erledigt war"; vgl. dagegen § 28 *πραττομένων*. — *δὲ δή*] vgl. § 5. 8. — *καταπλεῖ*] „in den Hafen". — *ἡ π. Διον. βοήθεια*] Der Artikel zeigt, daſs die bisher nicht erwähnte Hilfsmannschaft durch ein Bündnis in Aussicht gestellt war. — *πλέον*] = *πλέονες*, vgl. *plus*. — *Κελτούς*] Gallier. — *οἱ ἄλλοι αὐτῶν σύμμαχοι*] nicht ist *ἄλλοι* attributiv, sondern *σύμμαχοι* appositiv; „die anderen, welche ihre Bundesgenossen waren; so öfter im Griech. und auch im Franz. z. B. les autres Allemands: so erklärt sich auch die Stellung des nicht zum Artikel gehörigen *αὐτῶν*. — *διαταξάμενοι*] in Zwischenräumen. — *πεδίον*] zwischen Sicyon und Korinth. — *πολλά*] prädik. zu *ἰσχυρά*.

21. *ὅσοιπερ*] konzessiv „so wenig auch", näml. 50. — *οὗτοι*] epanalep-

διεσκεδασμένοι ἄλλος ἄλλῃ παραθέοντες ἠκόντιζόν τε προσελαύνοντες, καὶ ἐπεὶ ὥρμων ἐπ᾿ αὐτούς, ἀνεχώρουν καὶ πάλιν ἀναστρέφοντες ἠκόντιζον. καὶ ταῦτα ἅμα ποιοῦντες κατέβαινον ἀπὸ τῶν ἵππων καὶ ἀνεπαύοντο. εἰ δὲ καταβεβηκόσιν ἐπελαύνοιέν τινες, εὐπετῶς ἀναπηδῶντες ἀνεχώρουν. εἰ δ᾿ αὖ τινες διώξειαν αὐτοὺς πολὺ ἀπὸ τοῦ στρατεύματος, τούτους, ὁπότε ἀποχωροῖεν, ἐπικείμενοι καὶ ἀκοντίζοντες δεινὰ εἰργάζοντο καὶ πᾶν τὸ στράτευμα
22 ἠνάγκαζον ἑαυτῶν ἕνεκα καὶ προϊέναι καὶ ἀναχωρεῖν. μετὰ ταῦτα μέντοι οἱ Θηβαῖοι μείναντες οὐ πολλὰς ἡμέρας ἀπῆλθον οἴκαδε, καὶ οἱ ἄλλοι δὲ ἕκαστος οἴκαδε. ἐκ δὲ τούτου ἐμβάλλουσιν οἱ παρὰ Διονυσίου εἰς Σικυῶνα καὶ μάχῃ μὲν νικῶσι τοὺς Σικυωνίους ἐν τῷ πεδίῳ καὶ ἀπέκτειναν περὶ ἑβδομήκοντα· Δέρας δὲ τεῖχος κατὰ κράτος αἱροῦσιν. καὶ ἡ μὲν παρὰ Διονυσίου πρώτη βοήθεια ταῦτα πράξασα ἀπέπλευσεν εἰς Συρακούσας. Θηβαῖοι δὲ καὶ πάντες οἱ ἀποστάντες ἀπὸ Λακεδαιμονίων μέχρι μὲν τούτου τοῦ χρόνου ὁμοθυμαδὸν καὶ ἔπραττον καὶ ἐστρατεύοντο ἡγουμένων
23 Θηβαίων. ἐγγενόμενος* δέ τις Λυκομήδης Μαντινεύς, γένει τε οὐδενὸς ἐνδεὴς χρήμασί τε προήκων καὶ ἄλλως φιλότιμος, οὗτος ἐνέπλησε φρονήματος τοὺς Ἀρκάδας λέγων, ὡς μόνοις μὲν αὐτοῖς πατρὶς Πελοπόννησος εἴη, — μόνοι γὰρ αὐτόχθονες ἐν αὐτῇ οἰκοῖεν, — πλεῖστον δὲ τῶν Ἑλληνικῶν φῦλον τὸ Ἀρκαδικὸν εἴη

---

tisch. — *διεσκεδασμένοι*] subord. zu *παραθέοντες*. — *παραθέοντες*] „an der Front hinsprengend“. — *προσελαύνοντες*] gegen die Front, eng zu *ἠκόντιζον* gehörig und zeitlich später als *παραθέοντες*. — *ὥρμων*] *οἱ Θηβαῖοι*, Subjektswechsel; der Ind. Imperf. vertritt den iterativen Optativ im Temporalsatz, vgl. nachher *εἰ ἐπελαύνοιεν*. — *ἠκόντιζόν τε*] korresp. mit *καὶ ... ἀνεχώρουν κτλ.* — *ἅμα*] vgl. § 20. — *ἀνεχώρουν ... εἰργάζοντο*] natürlich *οἱ παρὰ Διονυσίου ἱππεῖς*.

22. *καὶ ... δέ*] „und auch“, vgl. V, 1, 11. — *οἴκαδε*] *ἀπῆλθον*. — *Δέρας*] Grenzfestung Sicyons gegen Korinth. — *νικῶσι ... ἀπέκτειναν*] Tempuswechsel. — *εἰς Σικυῶνα*] in das Gebiet von S. — *πρώτη*] im neuen Kriege seit Leuktra; Gegens. *δευτέρα* § 28; die im J. 373 gesandte Hilfe, vgl. VI, 2, 33—35, wurde vielleicht durch Iphikrates unwirksam gemacht; jedenfalls wird sie hier nicht berücksichtigt. — *ἔπραττον*] die ganze bisherige Zeit nochmals zusammenfassend.

23. *ἐγγενόμενος δέ*] *δέ* leitet hier den Gegensatz zu der bisherigen Einmütigkeit ein. — *οὐδενός*] nicht Gen. inopiae, sondern comparationis, abhängig von *ἐνδεής* = *ἥττων*. — *οὗτος*] epanaleptisch wie § 21. — *φρονήματος*] „Selbstvertrauen“. — *πατρίς*] im wahrsten Sinne. — *οἰκοῖεν*] eingeschaltete, aber dem Aussagesatze koordinierte Begründung; gewöhnlich

καὶ σώματα ἐγκρατέστατα ἔχοι. καὶ ἀλκιμωτάτους δὲ αὐτοὺς ἀπεδείκνυε, τεκμήρια παρεχόμενος, ὡς ἐπικούρων ὁπότε δεηθεῖέν τινες, οὐδένας ᾕρουντο ἀντ᾽ Ἀρκάδων. ἔτι δὲ οὔτε Λακεδαιμονίους πώποτε ἄνευ σφῶν ἐμβαλεῖν εἰς τὰς Ἀθήνας οὔτε νῦν Θηβαίους ἐλθεῖν ἄνευ Ἀρκάδων εἰς Λακεδαίμονα. ἐὰν οὖν σωφρονῆτε, 24
τοῦ ἀκολουθεῖν ὅποι ἄν τις παρακαλῇ φείσεσθε· ὡς πρότερόν γε Λακεδαιμονίοις ἀκολουθοῦντες ἐκείνους ηὐξήσατε, νῦν δέ, ἂν Θηβαίοις εἰκῇ ἀκολουθῆτε καὶ μὴ κατὰ μέρος ἡγεῖσθαι ἀξιῶτε, ἴσως τάχα τούτους ἄλλους Λακεδαιμονίους εὑρήσετε. οἱ μὲν δὴ Ἀρκάδες ταῦτα ἀκούοντες ἀνεφυσῶντό τε καὶ ὑπερεφίλουν τὸν Λυκομήδην καὶ μόνον ἄνδρα ἡγοῦντο· ὥστε ἄρχοντας ἔταττον οὕστινας ἐκεῖνος κελεύοι. καὶ ἐκ τῶν συμβαινόντων δὲ ἔργων ἐμεγαλύνοντο οἱ Ἀρκάδες· ἐμβαλόντων μὲν γὰρ εἰς Ἐπίδαυρον τῶν Ἀργείων καὶ ἀπο- 25
κλεισθέντων τῆς ἐξόδου ὑπό τε τῶν μετὰ Χαβρίου ξένων καὶ Ἀθηναίων καὶ Κορινθίων, βοηθήσαντες μάλα πολιορκουμένους ἐξελύσαντο τοὺς Ἀργείους οὐ μόνον τοῖς ἀνδράσιν, ἀλλὰ καὶ τοῖς χωρίοις πολεμίοις χρώμενοι. στρατευσάμενοι δὲ καὶ εἰς Ἀσίνην τῆς Λακαίνης ἐνίκησάν τε τὴν τῶν Λακεδαιμονίων φρουρὰν καὶ Γεράνορα τὸν πολέμαρχον, Σπαρτιάτην γενναῖον ὄντα, ἀπέκτειναν καὶ τὸ προάστειον τῶν Ἀσιναίων ἐπόρθησαν. ὅπου δὲ βουληθεῖεν ἐξελθεῖν, οὐ νύξ, οὐ χειμών, οὐ μῆκος ὁδοῦ, οὐκ ὄρη δύσβατα ἀπε-

---

steht der Infin. zur Fortsetzung der Oratio obliqua. — *καὶ . . . δέ*] vgl. § 22. — *ἀλκιμωτάτους*] *ὄντας*. — *ἐπικούρων*] edlerer Ausdruck für *μισθοφόρων*, vor dem regierenden *δεηθεῖεν* stehend, weil logisch auch zu *οὐδένας* (*ἐπικούρους*) gehörig. — *ᾕρουντο ἀντ᾽*] = *προῃροῦντο* mit Genet. — *ἐμβαλεῖν . . . ἐλθεῖν*] phraseologisch „hätten es durchgesetzt, zu . . .“.

24. *ἐὰν . . . σωφρονῆτε*] Übergang zur Or. recta ohne *ἔφη*. — *ὅποι*] sc. überallhin. — *φείσεσθε*] „Anstand nehmen“. — *ὡς*] nach gröfseren Interpunktionen = *γάρ*, eigentl. Relat. pro Demonstrat. wie im Lat. ***qui, quamquam***. — *εἰκῇ*] „auf gutes Glück“. — *κατὰ μέρος*] = *ἐν μέρει* § 14. — *ἴσως τάχα*] pleonastische Verbindung, wie oft im Griech.; die zweite ist rein zeitlich. — *ἄλλους Λακεδ.*] prädikat. — *ἀνεφυσῶντο*] bildlich wie im D. „aufblasen“, synonym unten *ἐμεγαλύνοντο*. — *οὕστινας*] *τάττειν*.

25. *ἐμβαλόντων . . . Ἀργείων*] vgl. V, 3, 2 u. a. m. — *Χαβρίου*] offenbar § 15 mit gemeint. — *χωρίοις*] die epidaurische Berglandschaft. — *πολεμίοις*] prädik., vgl. ***aliquo hoste uti***. — *χρώμενοι*] konzessiv. — *Λακαίνης*] poet. Wort für *Λακωνικῆς*. — *Ἀσίνη*] starke Festung im SW. von Gytheion, am lakonischen Meerbusen, vgl. VI, 5, 32. — *ὅπου*] ***ubicunque***, iterativ, fast im Sinne von *ὁπότε*.

κώλυεν αὐτούς· ὥστε ἐν ἐκείνῳ τῷ χρόνῳ πολὺ ᾤοντο κράτιστοι
26 εἶναι. οἱ μὲν δὴ Θηβαῖοι διὰ ταῦτα ὑποφθόνως καὶ οὐκέτι φιλικῶς εἶχον πρὸς τοὺς Ἀρκάδας. οἵ γε μὴν Ἠλεῖοι ἐπεὶ ἀπαιτοῦντες τὰς πόλεις τοὺς Ἀρκάδας, ἃς ὑπὸ Λακεδαιμονίων ἀφῃρέθησαν, ἔγνωσαν αὐτοὺς τοὺς μὲν ἑαυτῶν λόγους ἐν οὐδενὶ λόγῳ ποιουμένους, τοὺς δὲ Τριφυλίους καὶ τοὺς ἄλλους τοὺς ἀπὸ σφῶν ἀποστάντας περὶ παντὸς ποιουμένους, ὅτι Ἀρκάδες ἔφασαν εἶναι, ἐκ τούτων αὖ καὶ οἱ Ἠλεῖοι δυσμενῶς εἶχον πρὸς αὐτούς.

27 Οὕτω δ' ἑκάστων μέγα ἐφ' ἑαυτοῖς φρονούντων τῶν συμμάχων, ἔρχεται Φιλίσκος Ἀβυδηνὸς παρ' Ἀριοβαρζάνους χρήματα ἔχων πολλά. καὶ πρῶτα μὲν εἰς Δελφοὺς συνήγαγε περὶ εἰρήνης Θηβαίους καὶ τοὺς συμμάχους καὶ τοὺς Λακεδαιμονίους. ἐκεῖ δὲ ἐλθόντες τῷ μὲν θεῷ οὐδὲν ἐκοινώσαντο, ὅπως ἂν ἡ εἰρήνη γένοιτο, αὐτοὶ δὲ ἐβουλεύοντο. ἐπεὶ δὲ οὐ συνεχώρουν οἱ Θηβαῖοι Μεσσήνην ὑπὸ Λακεδαιμονίοις εἶναι, ξενικὸν πολὺ συνέλεγεν ὁ Φιλίσκος, ὅπως πολεμοίη μετὰ Λακεδαιμονίων.

28 Τούτων δὲ πραττομένων ἀφικνεῖται καὶ ἡ παρὰ Διονυσίου δευτέρα βοήθεια. λεγόντων δὲ Ἀθηναίων μέν, ὡς χρεὼν εἴη αὐτοὺς ἰέναι εἰς Θετταλίαν τἀναντία Θηβαίοις, Λακεδαιμονίων δέ, ὡς εἰς τὴν Λακωνικήν, ταῦτα ἐν τοῖς συμμάχοις ἐνίκησεν. ἐπεὶ

---

26. *ἀπαιτοῦντες*] als ihren ehemaligen Besitz, vgl. III, 2, 30. — *ἃς ... ἀφῃρέθησαν*] Passiv zu dem Med. *ἀφαιρεῖσθαί τινά τι*. — *ἑαυτῶν*] = *σφῶν*, indir. Reflexiv. — *Τριφύλιοι*] der Abstammung nach zu Arkadien, politisch zu Elis gehörig. — *Ἀρκάδες*] Prädikat. — *ἐκ τούτων*] vgl. V, 4, 11. — *ἑκάστων*] Arkader, Eleer, Thebaner.

27. *Ἀριοβαρζάνους*] persischer Statthalter in Phrygien, seit 387, Nachfolger des Pharnabazos, vgl. V, 1, 28. — *Δελφούς*] als neutrale Stätte des Amphiktyonenbundes. — *συνήγαγε*] „zu einer Versammlung laden". — *ἐκοινώσαντο*] *communicare cum aliquo* = *συνεβουλεύσαντο*. — *ὅπως*] indir. Frage mit Opt. potentialis; *ἂν* = „unter Umständen". — *αὐτοί*] „auf eigene Faust". — *Μεσσήνην*] Die Angabe betr. die Wiederherstellung des selbständigen Messeniens war eigentlich VI, 5, 51 zu erwarten.

28. *δευτέρα*] vgl. § 22. — *αὐτούς*] Constr. ad sensum, *τοὺς βοηθοῦντας*. — *Θετταλίαν*] wo der theban. Einflufs grofs war seit dem Siege über den von Athen begünstigten Alexander von Pherä, vgl. VI, 4, 34 ff. — *τἀναντία*] adverbiell. — *Λακεδαιμονίων δὲ ... ὡς εἰς τ. Λ.*] die Prädikate zu beiden Sätzen sind aus dem Vorhergehenden zu ergänzen. — *Λακωνικήν*] wegen der Feindseligkeiten der Arkader. — *ταῦτα*] „das letztere". — *ἐνίκησεν*] bildlich wie VI, 5, 6. — *περιέπλευσαν*] warum das Komposi-

δὲ περιέπλευσαν οἱ παρὰ Διονυσίου εἰς Λακεδαίμονα, λαβὼν αὐτοὺς Ἀρχίδαμος μετὰ τῶν πολιτικῶν ἐστρατεύετο. καὶ Καρύας μὲν αἱρεῖ κατὰ κράτος, καὶ ὅσους ζῶντας ἔλαβεν, ἀπέσφαξεν· ἐκεῖθεν δ' εὐθὺς στρατευσάμενος εἰς Παρρασίους τῆς Ἀρκαδίας μετ' αὐτῶν ἐδῄου τὴν χώραν. ἐπεὶ δ' ἐβοήθησαν οἱ Ἀρκάδες καὶ οἱ Ἀργεῖοι, ἐπαναχωρήσας ἐστρατοπεδεύσατο ἐν τοῖς ὑπὲρ Μηδέας γηλόφοις. ἐνταῦθα δ' ὄντος αὐτοῦ Κισσίδας ὁ ἄρχων τῆς παρὰ Διονυσίου βοηθείας ἔλεγεν, ὅτι ἐξήκοι αὐτῷ ὁ χρόνος, ὃς εἰρημένος ἦν παραμένειν. καὶ ἅμα ταῦτ' ἔλεγε καὶ ἀπῄει τὴν ἐπὶ Σπάρτης.
ἐπεὶ δὲ ἀποπορευόμενον ὑπετέμνοντο αὐτὸν οἱ Μεσσήνιοι ἐπὶ 29
στενὸν τῆς ὁδοῦ, ἐνταῦθα δὴ ἔπεμπεν ἐπὶ τὸν Ἀρχίδαμον καὶ βοηθεῖν ἐκέλευε· κἀκεῖνος μέντοι ἐβοήθει. ὡς δὲ ἐγένοντο ἐν τῇ ἐπ' Εὐτρησίους ἐκτροπῇ, οἱ μὲν Ἀρκάδες καὶ Ἀργεῖοι προσέβαινον εἰς τὴν Λάκαιναν, καὶ οὗτοι ὡς ἀποκλείσοντες αὐτὸν τῆς ἐπ' οἶκον ὁδοῦ. ὁ δέ, οὗπέρ ἐστι χωρίον ἐπίπεδον ἐν ταῖς συμβολαῖς τῆς τε ἐπ' Εὐτρησίων καὶ τῆς ἐπὶ Μηδέας ὁδοῦ, ἐνταῦθα ἐκβὰς
παρετάξατο ὡς μαχούμενος. ἔφασαν δ' αὐτὸν καὶ πρὸ τῶν λόχων 30
παριόντα τοιάδε παρακελεύσασθαι· Ἄνδρες πολῖται, νῦν ἀγαθοὶ γενόμενοι ἀναβλέψωμεν ὀρθοῖς ὄμμασιν: ἀποδῶμεν τοῖς ἐπιγιγνομένοις τὴν πατρίδα οἵανπερ παρὰ τῶν πατέρων παρελάβομεν·

---

tum? Vgl. die Karte. — Ἀρχίδαμος] vgl. V, 4, 25; zuletzt Führer der ruhmlosen Hilfsexpedition nach der Schlacht bei Leuktra, vgl. VI, 4, 18 bis 26. Agesilaos verzichtete noch immer auf die Führung, angeblich seines Alters wegen (Plut. Ages.), in der That aber aus Ehrgefühl, weil er sich Athen nicht unterordnen mochte. — λαβὼν μετά] „mit ... im Verein". — πολιτικῶν] Gegensatz zu συμμάχων; vgl. V, 4, 41. VI, 4, 26: 5, 21 u. a. — Καρύαι] im N. von Lakonien, vgl. VI, 5, 25, 27. — Παῤῥάσιοι ... Μηδέα] im S. von Arkadien. — μετ' αὐτῶν] den vereinten Sikulern und Lacedämoniern. — ἐξήκοι] „abgelaufen sein". — ὃς εἰρημένος ἦν] persönl. Konstr. — ἅμα ... καί] parataktisch wie *simul atque*, *item ac* u. a. — τὴν ἐ. Σπ.] ὁδόν.

29. ὑπετέμνοντο ἐπί] prägnant für ὑποτεμνόμενοι ἀπεώθουν ἐπί. — μέντοι] „wirklich", trotzdem er es nicht verdient hatte. — ἐγένοντο] οἱ Συρακόσιοι καὶ ὁ Ἀρχίδαμος. — αὐτὸν ... ὅδε] Ἀρχίδαμος. — Εὐτρήσιοι] Landschaft im S. von Arkadien. — ἐκτροπῇ] „Seitenweg". — προσέβαινον] Temp. de conatu. — Λάκαιναν] vgl. § 25. — καὶ οὗτοι] *et ipsi*, Gegens. zu Μεσσήνιοι. — ἐπίπεδον] Substantiv-Attribut. — συμβολαῖς] „die Kreuzungen (eines Kreuzwegs)". — ἐκβάς] ἐκ τοῦ στενοῦ.

30. ἔφασαν] die Zeitgenossen, vgl. V, 3, 2. VI, 2, 6; 4, 12; 5, 26. — γενόμενοι] nicht kausal, sondern ko-

παυσώμεθα αἰσχυνόμενοι καὶ παῖδας καὶ γυναῖκας καὶ πρεσβυτέρους καὶ ξένους, ἐν οἷς πρόσθεν γε πάντων τῶν Ἑλλήνων περι-
31 *βλεπτότατοι ἦμεν. τούτων δὲ ῥηθέντων ἐξ αἰθρίας ἀστραπάς τε καὶ βροντὰς λέγουσιν αἰσίους αὐτῷ φανῆναι· συνέβη δὲ καὶ πρὸς τῷ δεξιῷ κέρατι τέμενός τι καὶ ἄγαλμα Ἡρακλέους [οὗ δὴ καὶ ἀπόγονος λέγεται] εἶναι. τοιγαροῦν ἐκ τούτων πάντων οὕτω πολὺ μένος καὶ θάρρος τοῖς στρατιώταις φασὶν ἐμπεσεῖν, ὥστε ἔργον εἶναι τοῖς ἡγεμόσιν ἀνείργειν τοὺς στρατιώτας ὠθουμένους εἰς τὸ πρόσθεν. ἐπεὶ μέντοι ἡγεῖτο ὁ Ἀρχίδαμος, ὀλίγοι μὲν τῶν πολεμίων δεξάμενοι εἰς δόρυ αὐτοὺς ἀπέθανον· οἱ δ' ἄλλοι φεύγοντες ἔπιπτον, πολλοὶ μὲν ὑπὸ ἱππέων, πολλοὶ δὲ ὑπὸ τῶν Κελτῶν.*
32 *ὡς δὲ ληξάσης τῆς μάχης τρόπαιον ἐστήσατο, εὐθὺς ἔπεμψεν οἴκαδε ἀγγελοῦντα Δημοτέλη τὸν κήρυκα τῆς τε νίκης τὸ μέγεθος καὶ ὅτι Λακεδαιμονίων μὲν οὐδὲ εἷς τεθναίη, τῶν δὲ πολεμίων παμπληθεῖς. τοὺς μέντοι ἐν Σπάρτῃ ἔφασαν ἀκούσαντας ἀρξαμένους ἀπὸ Ἀγησιλάου καὶ τῶν γερόντων καὶ τῶν ἐφόρων πάντας κλαίειν· οὕτω κοινόν τι ἄρα χαρᾷ καὶ λύπῃ δάκρυά ἐστιν. ἐπὶ μέντοι τῇ τῶν Ἀρκάδων τύχῃ οὐ πολύ τι ἧττον Λακεδαιμονίων ἥσθησαν Θηβαῖοί τε καὶ Ἠλεῖοι· οὕτως ἤδη ἤχθοντο ἐπὶ τῷ φρονήματι αὐτῶν.*

---

hortativ wie das Verb. finit. — *ἀναβλέψωμεν*] jedem frei ins Gesicht. — *περιβλεπτότατοι*] *maxime conspicui*.

31. *αἰσίους*] *faustus*, mit Bezug auf *ἐξ αἰθρίου* wie zu *πρὸς τῷ δεξιῷ*. Bei den Griechen galt die rechte Seite für glückbedeutend, weil sie für den nach Mitternacht schauenden Vogeldeuter im Osten lag; umgekehrt bei den Römern, wo der Augur gen Mittag blickte. — *πολύ*] im Sing. intensiv die materielle, resp. geistige Fülle, *πολὺ στράτευμα*, *multum flumen, multa rosa* u. a. m., daher meist bei einem Nomen materiale. — *ἔργον*] „Aufgabe". — *ὠθούμενος*] Med. intensivum. — *τέμενος*] vgl. VI, 5, 27. — *δεξάμενοι*] Part. explicat. zu dem erzählenden *ἀπέθανον* wie *φεύγοντες* temporal zu dem schildernden *ἔπιπτον*. — *δεξ. εἰς δόρυ*] prägnant für *δ. ὥστε ἐς δόρυ ἀφικέσθαι* vgl. IV, 3, 17; im D. „auf Speerwurfsweite kommen lassen"; ähnlich vor den Spiefs, vors Messer nehmen, d. i. stand halten. — *ἱππέων ... Κελτῶν*] vgl. § 20.

32. *τὸ μέγεθος καὶ ὅτι*] Objektssubstantiv und Objektssatz verbunden. — *οὐδὲ εἷς τεθναίη*] daher diese Schlacht bei Diodor als *πόλεμος ἄδακρυς* (abgesehen von Freudenthränen) bezeichnet wird. — *παμπληθεῖς*] Adjektiv; im D. „ganze Massen". — *ἔφασαν*] vgl. § 30. — *ἀρξαμένους ἀπό*] von ... an bis zu den letzten. — *κλαίειν*] Inf. Imperf. — *οὕτω κοινόν*] abschliefsende Sentenz, vgl. *adeo verum*. — *τύχῃ*] Vox media; erg. *κακῇ*. — *πολύ*] durch *τι* verstärkt. — *φρονήματι*] zur Sache vgl. § 23.

Συνεχῶς δὲ βουλευόμενοι Θηβαῖοι, ὅπως ἂν τὴν ἡγεμονίαν 33
λάβοιεν τῆς Ἑλλάδος, ἐνόμισαν, εἰ πέμψειαν πρὸς τὸν Περσῶν
βασιλέα, πλεονεκτῆσαι ἄν τι ἐν ἐκείνῳ. καὶ ἐκ τούτου παρα-
καλέσαντες ἤδη τοὺς συμμάχους ἐπὶ προφάσει, ὅτι καὶ Εὐθυκλῆς
ὁ Λακεδαιμόνιος εἴη παρὰ βασιλεῖ, ἀναβαίνουσι Θηβαίων μὲν
Πελοπίδας, Ἀρκάδων δὲ Ἀντίοχος ὁ παγκρατιαστής, Ἠλείων δὲ
Ἀρχίδαμος· ἠκολούθει δὲ καὶ Ἀργεῖος. καὶ οἱ Ἀθηναῖοι δὲ
ἀκούσαντες ταῦτα ἀνέπεμψαν Τιμαγόραν τε καὶ Λέοντα. ἐπεὶ 34
δὲ ἐκεῖ ἐγένοντο, πολὺ ἐπλεονέκτει ὁ Πελοπίδας παρὰ τῷ Πέρσῃ.
εἶχε γὰρ λέγειν καὶ ὅτι μόνοι τῶν Ἑλλήνων βασιλεῖ συνεμάχοντο
ἐν Πλαταιαῖς καὶ ὅτι ὕστερον οὐδεπώποτε στρατεύσαιντο ἐπὶ
βασιλέα καὶ ὡς Λακεδαιμόνιοι διὰ τοῦτο πολεμήσειαν αὐτοῖς,
ὅτι οὐκ ἐθελήσαιεν μετ᾽ Ἀγησιλάου ἐλθεῖν ἐπ᾽ αὐτὸν οὐδὲ θῦσαι
ἐάσαιεν αὐτὸν ἐν Αὐλίδι τῇ Ἀρτέμιδι, ἔνθαπερ ὅτε Ἀγαμέμνων
εἰς τὴν Ἀσίαν ἐξέπλει θύσας εἷλε Τροίαν. μέγα δὲ συνεβάλλετο 35
τῷ Πελοπίδᾳ εἰς τὸ τιμᾶσθαι καὶ ὅτι ἐνενικήκεσαν οἱ Θηβαῖοι
μάχῃ ἐν Λεύκτροις καὶ ὅτι πεπορθηκότες τὴν χώραν τῶν Λακε-
δαιμονίων ἐφαίνοντο. ἔλεγε δὲ ὁ Πελοπίδας, ὅτι οἱ Ἀργεῖοι καὶ
οἱ Ἀρκάδες μάχῃ ἡττημένοι εἶεν ὑπὸ Λακεδαιμονίων, ἐπεὶ αὐτοὶ
οὐ παρεγένοντο. συνεμαρτύρει δ᾽ αὐτῷ ταῦτα πάντα ὡς ἀληθῆ
λέγοι ὁ Ἀθηναῖος Τιμαγόρας καὶ ἐτιμᾶτο δεύτερος μετὰ τὸν Πελο-
πίδαν. ἐκ δὲ τούτου ἐρωτώμενος ὑπὸ βασιλέως ὁ Πελοπίδας, τί 36
βούλοιτο ἑαυτῷ γραφῆναι, εἶπεν, ὅτι Μεσσήνην τε αὐτόνομον εἶναι

33. *ὅπως ... ἂν λάβοιεν*] wie § 27. — *πλεονεκτῆσαι ... ἐν*] Vorteil finden bei; ähnl. § 34. — *ἐν ἐκείνῳ*] = *ἐν ἐκείνου δυνάμει*. — *ἐπὶ προφάσει*] „unter dem Vorwande". — *Πελοπίδας*] hier zuerst genannt, offenbar aber schon früher wirksam. — *παγκρατιαστής*] bekannt als Sieger im Pankration, d. i. in dem alle Leibesübungen (Fufs-Arm-Körper) vereinenden Kampfe: *ἅλμα, ποδωκείην, δίσκον, ἄκοντα, πάλην*. — *Ἀργεῖος*] Nom. proprium, offenbar der 4, 15 erwähnte Eleer, namhafter Parteimann und Förderer der Demokratie.

34. *ἐπλεονέκτει παρά*] vgl. § 33. — *μόνοι*] Constr. ad sensum, *οἱ Θηβαῖοι*. — *συνεμάχοντο ... στρατεύσαιντο*] Moduswechsel; ersteres objektive Thatsache, letzteres subjektive Annahme; diese noch mehr betont durch *ὡς*. — *ὅτι ... ἐθελήσαιεν*] kausal. — *θῦσαι*] zur Sache vgl. III, 4, 3. — *ἔνθαπερ*] logisch nur zum Partic. *θύσας*, nicht zum Verb. finit. *εἷλε* gehörig; im D. unterordnend „wo ... bevor".

35. *συνεβάλλετο*] Med. intensiv. „beitragen". Wo liegt das Subjekt? — *ἐπεί*] „gerade deshalb weil". — *αὐτοί*] im Nom. bekanntlich *ipsi* nicht *ii*. — *συνεμαρτύρει ... λέγοι*] Subjektswechsel mit chiastischer Beziehung.

36. *γραφῆναι*] schriftlicher Bescheid

ἀπὸ Λακεδαιμονίων καὶ Ἀθηναίους ἀνέλκειν τὰς ναῦς· εἰ δὲ ταῦτα μὴ πείθοιντο, στρατεύειν ἐπ᾽ αὐτούς· εἴ τις δὲ πόλις μὴ ἐθέλοι ἀκολουθεῖν, ἐπὶ ταύτην πρῶτον ἰέναι.
37 γραφέντων δὲ τούτων καὶ ἀναγνωσθέντων τοῖς πρέσβεσιν, εἶπεν ὁ Λέων ἀκούοντος τοῦ βασιλέως· Νὴ Δία, ὦ Ἀθηναῖοι, ὥρα γε ὑμῖν, ὡς ἔοικεν, ἄλλον τινὰ φίλον ἀντὶ βασιλέως ζητεῖν. ἐπεὶ δὲ ἀπήγγειλεν ὁ γραμματεὺς ἃ εἶπεν ὁ Ἀθηναῖος, πάλιν ἐξήνεγκε προσγεγραμμένα· εἰ δέ τι δικαιότερον τούτων γιγνώσκουσιν οἱ Ἀθηναῖοι, ἰόντας
38 πρὸς βασιλέα διδάσκειν. ἐπεὶ δὲ ἀφίκοντο οἱ πρέσβεις οἴκαδε ἕκαστοι, τὸν μὲν Τιμαγόραν ἀπέκτειναν οἱ Ἀθηναῖοι, κατηγοροῦντος τοῦ Λέοντος, ὡς οὔτε συσκηνοῦν ἑαυτῷ ἐθέλοι μετά τε Πελοπίδου πάντα βουλεύοιτο. τῶν δὲ ἄλλων πρέσβεων ὁ μὲν Ἠλεῖος Ἀρχίδαμος, ὅτι προὐτίμησε τὴν Ἦλιν πρὸ τῶν Ἀρκάδων, ἐπῄνει τὰ τοῦ βασιλέως, ὁ δὲ Ἀντίοχος, ὅτι ἠλαττοῦτο τὸ Ἀρκαδικόν, οὔτε τὰ δῶρα ἐδέξατο ἀπήγγειλέ τε πρὸς τοὺς μυρίους, ὅτι βασιλεὺς ἀρτοκόπους μὲν καὶ ὀψοποιοὺς καὶ οἰνοχόους καὶ θυρωροὺς παμπληθεῖς ἔχοι, ἄνδρας δέ, οἳ μάχοιντ᾽ ἂν Ἕλλησι, πάνυ ζητῶν οὐκ ἔφη δύνασθαι ἰδεῖν. πρὸς δὲ τούτοις καὶ τὸ τῶν χρημάτων πλῆθος ἀλαζονείαν οἵ γε δοκεῖν ἔφη εἶναι, ἐπεὶ καὶ τὴν ὑμνου-

---

betr. die Friedensbedingungen. — ὅτι] sc. βούλοιτο γραφῆναι. — ἀπὸ Λακ.] wegen des in αὐτόνομον liegenden Begriffs ἐλεύθερον, vgl. V, 1, 36. — ἀνέλκειν] ans Land ziehen bildlich für „auflösen", vgl. im D. „eine Sache an den Nagel hängen". Zur Sache vgl. die Rede des Prokles VI, 5, 38. — στρατεύειν ... ἰέναι] „man", d. h. die übrigen Frieden schliefsenden Mächte. — εἴ τις δέ] τις durch die Stellung betont. — πρῶτον] betont ἰέναι, nicht ταύτην; Sinn: πρότερον ἢ στρατεύειν ἐπ᾽ αὐτούς.

37. τοῦ βασιλέως] Der Artikel weist auf die eben genannte Persönlichkeit. — ἀπήγγειλεν] *referre*, „hinterbringen" zugleich als Dolmetscher. — ἐξήνεγκε] aus dem Kabinett des Königs. — διδάσκειν] τοὺς Ἀθηναίους, Imper. Or. obl., abhängig von dem in προσγεγραμμένα liegenden δεῖ.

38. ἀπέκτειναν] gerichtlicher Ausdruck. — οὔτε ... τε] *neque ... et.* — ἐθέλοι ... βουλεύοιτο] Opt. Imperf. — προὐτίμησε τὴν Ἦλιν] offenbar durch Zuerkennung des streitigen Triphyliens, vgl. § 26. — τὰ τ. β.] „der Erlafs d. K.". — τοὺς μυρίους] die Vertreter der arkadischen Stämme bei der Bundesversammlung in Megalopolis, vgl. VI, 5, 6. — παμπληθεῖς] „massenweise", vgl. § 32. — οἳ ... μάχοιντ᾽ ἂν] vgl. V, 2, 23. — ζητῶν] welche Satzart vertretend? — τὸ ... πλῆθος] Subjekt im prägnanten Sinne zu ἀλαζονείαν. — οἵ γε δοκεῖν] Infin. absol. der Or. obl. statt ἐμοί γε δοκεῖν der Or. recta; daher οἵ orthotoniert. — ὑμνουμένην] „vielgepriesen". — ἄν]

μένην ἂν χρυσῆν πλάτανον οὐχ ἱκανὴν ἔφη εἶναι τέττιγι σκιὰν
παρέχειν.
Ὡς δὲ οἱ Θηβαῖοι συνεκάλεσαν ἀπὸ τῶν πόλεων ἀπασῶν* 39
ἀκουσομένους τῆς παρὰ βασιλέως ἐπιστολῆς καὶ ὁ Πέρσης ὁ φέρων
τὰ γράμματα δείξας τὴν βασιλέως σφραγῖδα ἀνέγνω τὰ γεγραμμένα,
οἱ μὲν Θηβαῖοι ὀμνύναι ταῦτα ἐκέλευον βασιλεῖ καὶ ἑαυτοῖς τοὺς
βουλομένους φίλους εἶναι, οἱ δὲ ἀπὸ τῶν πόλεων ἀπεκρίναντο, ὅτι
οὐκ ὀμούμενοι, ἀλλ᾽ ἀκουσόμενοι πεμφθείησαν· εἰ δέ τι ὅρκων
δέοιντο, πρὸς τὰς πόλεις πέμπειν ἐκέλευον. ὁ μέντοι Ἀρκὰς
Λυκομήδης καὶ τοῦτο ἔλεγεν, ὅτι οὐδὲ τὸν σύλλογον ἐν Θήβαις
δέοι εἶναι, ἀλλ᾽ ἔνθα ἂν ᾖ ὁ πόλεμος. χαλεπαινόντων δ᾽ αὐτῷ
τῶν Θηβαίων καὶ λεγόντων, ὡς διαφθείροι τὸ συμμαχικόν, οὐδ᾽
εἰς τὸ συνέδριον ἤθελε καθίζειν, ἀλλ᾽ ἀπιὼν ᾤχετο καὶ μετ᾽ αὐτοῦ
πάντες οἱ ἐξ Ἀρκαδίας πρέσβεις. ὡς δ᾽ ἐν Θήβαις οὐκ ἠθέλησαν 40
οἱ συνελθόντες ὀμόσαι, ἔπεμπον οἱ Θηβαῖοι πρέσβεις ἐπὶ τὰς
πόλεις, ὀμνύναι κελεύοντες ποιήσειν κατὰ τὰ βασιλέως γράμματα,
νομίζοντες ὀκνήσειν μίαν ἑκάστην τῶν πόλεων ἀπεχθάνεσθαι ἅμα
ἑαυτοῖς τε καὶ βασιλεῖ. ἐπεὶ μέντοι εἰς Κόρινθον πρῶτον αὐτῶν
ἀφικομένων ὑπέστησαν οἱ Κορίνθιοι καὶ ἀπεκρίναντο, ὅτι οὐδὲν
δέοιντο πρὸς βασιλέα κοινῶν ὅρκων, ἐπηκολούθησαν καὶ ἄλλαι
πόλεις κατὰ ταὐτὰ ἀποκρινόμεναι. καὶ αὕτη μὲν ἡ Πελοπίδου
καὶ τῶν Θηβαίων τῆς ἀρχῆς περιβολὴ οὕτω διελύθη.
Αὖθις δ᾽ Ἐπαμεινώνδας, βουληθεὶς τοὺς Ἀχαιοὺς προσαγα- 41

---

verb. mit *εἶναι*, vgl. V, 1, 15. — *πλάτανον*] nach Herodot VII, 27 eines der Geschenke, welche Darius von dem reichen Lydier Pythios erhalten hatte. Die ganze Bemerkung zeugt von der kleinlichen Mäkelsucht, wie sie das Rachegefühl für erfahrene Zurücksetzung einzugeben pflegt.

39. *ἀκουσομένους*] *οἳ ἀκούσονται.* — *ἐπιστολῆς ... γράμματα*] Synonyma, ersteres nach der inhaltlichen, letzteres nach der formellen Seite. — *σφραγῖδα*] Siegel unter dem Schreiben. — *ὀμνύναι ταῦτα*] sc. *ἐμπεδώσειν*; „beschwören". — *βασιλεῖ*] zu *ὀμνύναι* wie zu *φίλους* gehörig. — *μέντοι*] bekräftigend „noch obendrein". — *Λυκομήδης*] § 23. — *διαφθείροι*] *perdere*. — *τὸ συμμαχικόν*] *τὰς διαθήκας τῆς συμμαχίας.*

40. *οἱ συνελθόντες*] *οἱ ἀπὸ τῶν πόλεων* § 39. — *μίαν ἑκάστην*] Gegensatz zu *συνελθόντες*. — *ἑαυτοῖς*] indir. Reflexiv. — *ὑπέστησαν*] *ἀντέστησαν.* — *κατὰ ταὐτά*] „in gleichem Sinne". — *περιβολή*] figürlich „Jagd", vgl. *περιβαλέσθαι* IV, 8, 18.

41. *Ἐπαμεινώνδας*] hier zuerst erwähnt, obwohl früher bereits wirksam; vgl. § 33. — *μᾶλλον*] *ἢ μέχρι τού-*

γέσθαι, ὅπως μᾶλλον σφίσι καὶ οἱ Ἀρκάδες καὶ οἱ ἄλλοι σύμμαχοι προσέχοιεν τὸν νοῦν, ἔγνω ἐκστρατευτέον εἶναι ἐπὶ τὴν Ἀχαΐαν. Πεισίαν οὖν τὸν Ἀργεῖον στρατηγοῦντα ἐν τῷ Ἄργει πείθει προκαταλαβεῖν τὸ Ὄνειον. καὶ ὁ Πεισίας μέντοι καταμαθὼν ἀμελουμένην τὴν τοῦ Ὀνείου φυλακὴν ὑπό τε Ναυκλέους, ὃς ἦρχε τοῦ ξενικοῦ τῶν Λακεδαιμονίων, καὶ ὑπὸ Τιμομάχου τοῦ Ἀθηναίου, καταλαμβάνει νύκτωρ μετὰ δισχιλίων ὁπλιτῶν τὸν
42 ὑπὲρ Κεγχρειῶν λόφον, ἔχων ἑπτὰ ἡμερῶν τὰ ἐπιτήδεια. ἐν δὲ ταύταις ταῖς ἡμέραις ἐλθόντες οἱ Θηβαῖοι ὑπερβαίνουσι τὸ Ὄνειον, καὶ στρατεύουσι πάντες οἱ σύμμαχοι ἐπ' Ἀχαΐαν, ἡγουμένου Ἐπαμεινώνδου. προσπεσόντων δ' αὐτῷ τῶν βελτίστων ἐκ τῆς Ἀχαΐας, ἐνδυναστεύει ὁ Ἐπαμεινώνδας ὥστε μὴ φυγαδεῦσαι τοὺς κρατίστους μηδὲ πολιτείαν μεταστῆσαι, ἀλλὰ πιστὰ λαβὼν παρὰ τῶν Ἀχαιῶν ἦ μὴν συμμάχους ἔσεσθαι καὶ ἀκολουθήσειν ὅποι ἂν Θηβαῖοι
43 ἡγῶνται, οὕτως ἀπῆλθεν οἴκαδε. κατηγορούντων δὲ αὐτοῦ τῶν τε Ἀρκάδων καὶ τῶν ἀντιστασιωτῶν, ὡς Λακεδαιμονίοις κατεσκευακὼς τὴν Ἀχαΐαν ἀπέλθοι, ἔδοξε Θηβαίοις πέμψαι ἁρμοστὰς εἰς τὰς Ἀχαΐδας πόλεις. οἱ δ' ἐλθόντες τοὺς μὲν βελτίστους σὺν τῷ πλήθει ἐξέβαλον, δημοκρατίας δὲ ἐν τῇ Ἀχαΐᾳ κατέστησαν. οἱ μέντοι ἐκπεσόντες συστάντες ταχύ, ἐπὶ μίαν ἑκάστην τῶν πόλεων πορευόμενοι, ὄντες οὐκ ὀλίγοι, κατῆλθόν τε καὶ κατέσχον τὰς πόλεις. ἐπεὶ δὲ κατελθόντες οὐκέτι ἐμέσευον, ἀλλὰ προθύμως

του. — σφίσι] Constr. ad sensum, τοῖς Θηβαίοις vgl. § 34. — ἔγνω κτλ.] *censuit proficiscendum esse*, hier also Verb. opinandi. — καὶ μέντοι] *et profecto*, verb. mit καταλαμβάνει. — Ὄνειον] § 15. — Κεγχρειῶν] VI, 5, 51.

42. προσπεσόντων] τάχα προσχωρούντων (vgl. προσαγαγέσθαι), was Epaminondas vonseiten der bisher zwar äuſserlich neutralen aber immerhin spartanerfreundlichen Aristokraten kaum erwarten konnte. προσπεσεῖν im Sinne von ἱκετεύειν hätte schwerlich eine polit. Wirkung auf Epaminondas ausüben können. — ἐνδυναστεύει] Folge von προσπεσόντων „hatte daher unbeschränkten Einfluſs", und konnte daher durchsetzen ὥστε κτλ. — φυγαδεῦσαι] Subj. τὸ πλῆθος τῶν Ἀχαιῶν. — κρατίστους] βελτίστους. — ἦ μήν] übliche Schwurformel. — οὕτως] epanaleptisch wozu?

43. ἀντιστασιωτῶν] sowohl in Achaja als in Theben selbst. — Λακεδαιμονίοις] im Sinne und oligarch. Interesse der Laced., Dat. commodi. — σὺν τ. πλ.] „mit Hilfe d. M.", verb. mit dem Subjekt des Verbs. — δημοκρατίας … κατέστησαν] also in direktem Gegensatz zur Politik des Epaminondas, vgl. § 42 μηδὲ … μεταστῆσαι. — κατῆλθον] auf polit. Flüchtlinge bezügliches Verbum. — οὐκέτι] ὡς μέχρι τούτου. — ἐμέσευον] die Mitte, d. i. Neutralität

συνεμάχουν τοῖς Λακεδαιμονίοις, ἐπιέζοντο οἱ Ἀρκάδες ἔνθεν μὲν ὑπὸ Λακεδαιμονίων, ἔνθεν δὲ ὑπὸ Ἀχαιῶν. ἐν δὲ τῷ Σικυῶνι τὸ 44
μὲν μέχρι τούτου κατὰ τοὺς ἀρχαίους νόμους ἡ πολιτεία ἦν. ἐκ δὲ τούτου βουλόμενος ὁ Εὔφρων, ὥσπερ παρὰ τοῖς Λακεδαιμονίοις μέγιστος ἦν τῶν πολιτῶν, οὕτω καὶ παρὰ τοῖς ἐναντίοις αὐτῶν πρωτεύειν, λέγει πρὸς τοὺς Ἀργείους καὶ πρὸς Ἀρκάδας, ὡς, εἰ μὲν οἱ πλουσιώτατοι ἐγκρατεῖς ἔσοιντο τοῦ Σικυῶνος, σαφῶς, ὅταν τύχῃ, πάλιν λακωνιεῖ ἡ πόλις· ἐὰν δὲ δημοκρατία γένηται, εὖ ἴστε, ἔφη, ὅτι διαμενεῖ ὑμῖν ἡ πόλις. ἐὰν οὖν μοι παραγένησθε, ἐγὼ ἔσομαι ὁ συγκαλῶν τὸν δῆμον καὶ ἅμα ἐγὼ ὑμῖν ταύτην πίστιν ἐμαυτοῦ δώσω καὶ τὴν πόλιν βέβαιον ἐν τῇ συμμαχίᾳ παρέξω. ταῦτα δ', ἔφη, ἐγὼ πράττω εὖ ἴστε ὅτι πάλαι μὲν χαλεπῶς φέρων, ὥσπερ ὑμεῖς, τὸ φρόνημα τῶν Λακεδαιμονίων, ἄσμενος δ' ἂν τὴν δουλείαν ἀποφυγών. οἱ οὖν Ἀρκάδες καὶ οἱ 45
Ἀργεῖοι ἡδέως ταῦτα ἀκούσαντες παρεγένοντο αὐτῷ. ὁ δ' εὐθὺς ἐν τῇ ἀγορᾷ παρόντων τῶν Ἀργείων καὶ τῶν Ἀρκάδων συνεκάλει τὸν δῆμον, ὡς τῆς πολιτείας ἐσομένης ἐπὶ τοῖς ἴσοις καὶ ὁμοίοις. ἐπεὶ δὲ συνῆλθον, στρατηγοὺς ἐκέλευσεν ἑλέσθαι οὕστινας αὐτοῖς δοκοίη· οἱ δ' αἱροῦνται αὐτόν τε τὸν Εὔφρονα καὶ Ἱππόδαμον καὶ Κλέανδρον καὶ Ἀκρίσιον καὶ Λύσανδρον. ὡς δὲ ταῦτα ἐπέπρακτο, καὶ ἐπὶ τὸ ξενικὸν καθίστησιν Ἀδέαν τὸν αὑτοῦ υἱόν, Λυσιμένην τὸν πρόσθεν ἄρχοντα ἀποστήσας. καὶ εὐθὺς μὲν τού- 46
των τῶν ξένων ὁ Εὔφρων πιστούς τινας εὖ ποιῶν ἐποιήσατο καὶ

---

halten, was übrigens die inneren Sympathieen für Sparta nicht ausschliefst.

44. *τὸ μὲν μέχρι τ.*] Accus. der Zeitdauer; Gegens. *ἐκ δὲ τούτου.* — *μέγιστος ἦν*] ***plurimum valebat.*** — *πλουσιώτατοι*] es herrschte also Plutokratie. — *εἰ ... ἔσοιντο*] Opt. Or. obl. statt *εἰ ... ἔσονται*; daneben *ὅταν τύχῃ* sc. *ἡ πόλις τοῦ καιροῦ* als zweite Hypothese zu *λακωνιεῖ*; vgl. VI, 1, 13. — *λακωνιεῖ*] ingressiv. — *γένηται*] ingressiv, dagegen *ἔσοιντο* durativ. — *εὖ ἴστε*] Übergang zur Orat. recta. — *διαμενεῖ*] *πιστή* vgl. 2, 2, durativ. — *ταύτην*] d. i. *τὸ συγκαλεῖν* Subj. zu dem prädikat. *πίστιν.* — *εὖ ἴστε ὅτι*] adverbiell wie *δηλονότι*, ***nescio an, mirum quantum*** u. a. m. — *φρόνημα*] „Hochmut", vgl. § 23; V, 2, 18. — *ἂν ... ἀποφυγών*] Das Partizip vertritt hier einen hypothet. Nachsatz *διότι ... ἂν ἀποφύγοιμι.*

45. *ἐπὶ τοῖς ἴσοις καὶ ὁμοίοις*] vgl. § 1. — *συνῆλθον*] Constr. ad sensum, *ὁ δῆμος.* — *καὶ ἐπὶ τ.*] *καί* „aufserdem", gehört zum ganzen Satz. — *ἐπὶ τὸ ... καθίστησιν*] = *ἐφίστησι* mit Dat.; vgl. V, 1, 5. — *ἀποστήσας*] *τῆς ἀρχῆς.*

46. *πιστούς*] prädik. verb. mit *ἐποιή-*

ἄλλους προσελάμβανεν οὔτε τῶν δημοσίων οὔτε τῶν ἱερῶν χρημάτων φειδόμενος. καὶ ὅσους δ' ἐξέβαλεν ἐπὶ λακωνισμῷ, καὶ τοῖς τούτων χρήμασιν ἐχρῆτο. καὶ τῶν συναρχόντων δὲ τοὺς μὲν δόλῳ ἀπέκτεινε, τοὺς δ' ἐξέβαλεν· ὥστε πάντα ὑφ' ἑαυτῷ ἐποιήσατο καὶ σαφῶς τύραννος ἦν. ὅπως δὲ ταῦτα ἐπιτρέποιεν αὐτῷ οἱ σύμμαχοι, τὰ μέν τι καὶ χρήμασι διεπράττετο, τὰ δὲ καί, εἴ ποι στρατεύοιντο, προθύμως ἔχων τὸ ξενικὸν συνηκολούθει.

2 Οὕτω δὲ τούτων προκεχωρηκότων καὶ τῶν τε Ἀργείων ἐπιτετειχικότων τῷ Φλιοῦντι τὸ ὑπὲρ τοῦ Ἡραίου Τρικάρανον καὶ τῶν Σικυωνίων ἐπὶ τοῖς ὁρίοις αὐτῶν τειχιζόντων τὴν Θυαμίαν μάλα ἐπιέζοντο οἱ Φλιάσιοι καὶ ἐσπάνιζον τῶν ἐπιτηδείων· ὅμως δὲ διεκαρτέρουν ἐν τῇ συμμαχίᾳ. ἀλλὰ γὰρ τῶν μὲν μεγάλων πόλεων, εἴ τι καλὸν ἔπραξαν, ἅπαντες οἱ συγγραφεῖς μέμνηνται· ἐμοὶ δὲ δοκεῖ καὶ εἴ τις μικρὰ πόλις οὖσα πολλὰ καὶ καλὰ ἔργα
2 διαπέπρακται, ἔτι μᾶλλον ἄξιον εἶναι ἀποφαίνειν. Φλιάσιοι τοίνυν φίλοι μὲν ἐγένοντο Λακεδαιμονίοις, ὅτ' ἐκεῖνοι μέγιστοι ἦσαν· σφαλέντων δ' αὐτῶν ἐν τῇ ἐν Λεύκτροις μάχῃ καὶ ἀποστάντων

σατο. — προσελάμβανεν] Temp. de conatu, zugleich iterativ. — καὶ ... ὅσους δέ] καὶ τούτων δὲ ὅσους; über καὶ ... δέ vgl. § 22; hier steht wegen der Nachstellung von τούτων das καί „auch" zweimal. — σαφῶς] unverkennbar d. i. „ungescheut". — ὅπως] von διεπράττετο (statt des Infin.) wie von συνηκολούθει abhängig. — τὰ μέν τι] τι neben dem Plural kollektiv. — τὰ μὲν καὶ ... τὰ δὲ καί] pleonast. Verbindung synonymer Partikeln. — προθύμως] verb. mit dem Verb. fin.

Kap. 2. Verherrlichung der Treue der Phliasier gegen Sparta. § 1/4: Unterstützung der Spartaner durch die Phliasier. Einfall der Argiver in Phlius (369 v. Chr.). — § 5/9: Kämpfe der Phliasier um ihre Burg (369). — § 10/15: Dritter und vierter Angriff auf Phlius (368/67). — § 16/23: Edelmut der Phliasier. Unterstützung derselben durch den Athener Chares. Einnahme von Thyamia (367).

1. ἐπιτετειχικότων] mit Dat. incomm. τῷ Φλ. zum Zwecke feindlicher Angriffe auf. — Ἡραῖον] Heratempel im W. des Berges. — Τρικάρανον] Bergrücken mit drei stumpfen Gipfeln an der Grenze von Sicyon, im NO. von Phlius. — Θυαμία] Kastell an demselben Gebirgszuge im N. von Phlius, an der Wasserscheide des Asopos- und Nemea-Thals. — αὐτῶν] τῶν Φλιασίων. — συμμαχίᾳ] τῶν Λακεδαιμονίων, vgl. VI, 4, 9; 5, 14. 17. — ἀλλὰ γὰρ] *sed enim*, elliptische Phrase statt: ἀλλὰ ἄξιόν ἐστιν ἀποφαίνειν τὰ πρότερον· τῶν μὲν γάρ κτλ. — τις] Subj. erg. πόλις aus dem Prädikatsnomen. — ἀποφαίνειν] ταῦτα.

2. τοίνυν] „nun also", weist auf διεκαρτέρουν. — ὅτε] im J. 379. —

μὲν πολλῶν περιοίκων, ἀποστάντων δὲ πάντων τῶν Εἱλώτων, ἔτι
δὲ τῶν συμμάχων πλὴν πάνυ ὀλίγων, ἐπιστρατευόντων δ' αὐτοῖς
ὡς εἰπεῖν πάντων τῶν Ἑλλήνων, πιστοὶ διέμειναν καὶ ἔχοντες
πολεμίους τοὺς δυνατωτάτους τῶν ἐν Πελοποννήσῳ Ἀρκάδας καὶ
Ἀργείους ὅμως ἐβοήθησαν* αὐτοῖς, καὶ διαβαίνειν τελευταῖοι λα-
χόντες εἰς Πρασιὰς τῶν συμβοηθησάντων, — ἦσαν δ' οὗτοι Κο-
ρίνθιοι, Ἐπιδαύριοι, Τροιζήνιοι, Ἑρμιονεῖς, Ἁλιεῖς, Σικυώνιοι καὶ
Πελληνεῖς, οὐ γάρ πω τότε ἀφέστασαν, — ἀλλ' οὐδ' ἐπεὶ ὁ ξενα- 3
γὸς τοὺς προδιαβεβῶτας λαβὼν ἀπολιπὼν αὐτοὺς ᾤχετο, οὐδ' ὣς
ἀπεστράφησαν, ἀλλ' ἡγεμόνα μισθωσάμενοι ἐκ Πρασιῶν, ὄντων
τῶν πολεμίων περὶ Ἀμύκλας, ὅπως ἐδύναντο διαδύντες εἰς Σπάρ-
την ἀφίκοντο. καὶ μὴν οἱ Λακεδαιμόνιοι ἄλλως τε ἐτίμων αὐτοὺς
καὶ βοῦν ξένια ἔπεμψαν. ἐπεὶ δ' ἀναχωρησάντων τῶν πολεμίων 4
ἐκ τῆς Λακεδαίμονος οἱ Ἀργεῖοι ὀργιζόμενοι τῇ τῶν Φλιασίων
περὶ τοὺς Λακεδαιμονίους προθυμίᾳ ἐνέβαλον πανδημεὶ εἰς τὸν
Φλιοῦντα καὶ τὴν χώραν αὐτῶν ἐδῄουν, οὐδ' ὣς ὑφίεντο, ἀλλὰ καὶ
ἐπεὶ ἀπεχώρουν φθείραντες ὅσα ἐδύναντο, ἐπεξελθόντες οἱ τῶν
Φλιασίων ἱππεῖς ἐπηκολούθουν αὐτοῖς, καὶ ὀπισθοφυλακούντων τοῖς
Ἀργείοις τῶν ἱππέων ἁπάντων καὶ λόχων τῶν μετ' αὐτοὺς τεταγ-
μένων, ἐπιθέμενοι τούτοις ἑξήκοντα ὄντες ἐτρέψαντο πάντας τοὺς
ὀπισθοφύλακας· καὶ ἀπέκτειναν μὲν ὀλίγους αὐτῶν, τρόπαιον μέντοι

ἀπάντων τῶν Εἱλώτων] VI, 5, 28 ist das nicht erzählt, dagegen ist VI, 5, 25. 32 der Abfall der Periöken berichtet; diese Thatsachen fanden in der Zeit des theban. Einfalles statt. — Ἀρκάδας κ. Ἀρ.] epexegetisch. — ἐβοήθησαν] vgl. VI, 5, 29. — διαβαίνειν] über das Grenzgebirge; die gefährliche Stellung hätte leicht zum Abfall reizen können. — τελευταῖοι] verb. mit διαβαίνειν. — λαχόντες] konzessiv. — Πρασιαί] an der Ostküste von Lakonien. — Πελλήνη] Stadt in Achaja; die übrigen Stämme gehören zu Argolis und Umgegend.

3. ἀλλ' οὐδ'] ἀλλά anakoluthisch an die vorhergehende Parenthese anknüpfend, οὐδ' ἐπεί konzessiv; dazu οὐδ' ὥς epanaleptisch. — λαβών] subordin. ἀπολιπὼν ᾤχετο. — ἡγεμόνα] „Wegweiser". — ὄντων] konzessiv. — Ἀμύκλας] vgl. VI, 5, 30. — διαδύντες] „durchschleichen". — καὶ μήν] *et profecto.* — ξένια] Prädikat zum Objekt; der Plural, weil für mehrere berechnet; gemeint sind Lebensmittel, wogegen δῶρα auf Kleinodien weist.

4. τὸν Φλιοῦντα] das Gebiet von Phlius. — ὑφίεντο] Subjektswechsel, οἱ Φλιάσιοι. — ἀπεχώρουν] wieder Subjektswechsel, οἱ Ἀργεῖοι. — τοῖς Ἀργ.] Dat. commodi „bei". — λόχων] also das Fufsvolk. — τεταγμένων] in welchem Verhältnis zum Partic. ὀπισθοφυλακούντων? — ἑξήκοντα ὄντες] konzessiv, „nur". — μέντοι] stärker

ἐστήσαντο δρώντων τῶν Ἀργείων οὐδὲν διαφέρον ἢ εἰ πάντας ἀπεκτόνεσαν αὐτούς.

5 Αὖθις δὲ Λακεδαιμόνιοι μὲν καὶ οἱ σύμμαχοι ἐφρούρουν τὸ Ὄνειον, Θηβαῖοι δὲ προσῄεσαν ὡς ὑπερβησόμενοι. πορευομένων δὲ διὰ Νεμέας τῶν Ἀρκάδων καὶ Ἠλείων, ὅπως συμμίξαιεν τοῖς Θηβαίοις, προσήνεγκαν μὲν λόγον τῶν Φλιασίων φυγάδες, ὡς, εἰ ἐθελήσειαν ἐπιφανῆναι μόνον σφίσι, λάβοιεν ἂν Φλιοῦντα· ἐπεὶ δὲ ταῦτα συνωμολογήθη, τῆς νυκτὸς ὑπεκαθίζοντο ὑπ᾽ αὐτῷ τῷ τείχει κλίμακας ἔχοντες οἵ τε φυγάδες καὶ ἄλλοι μετ᾽ αὐτῶν ὡς ἑξακόσιοι. ἐπεὶ δὲ οἱ μὲν σκοποὶ ἐσήμαινον ἀπὸ τοῦ Τρικαράνου ὡς πολεμίων ἐπιόντων, ἡ δὲ πόλις πρὸς τούτους τὸν νοῦν εἶχεν, ἐν δὲ τούτῳ οἱ προδιδόντες ἐσήμαινον τοῖς ὑποκαθημένοις ἀναβαίνειν.

6 οἱ δ᾽ ἀναβάντες καὶ λαβόντες τῶν φρουρῶν τὰ ὅπλα ἔρημα ἐδίωκον τοὺς ἡμεροφύλακας ὄντας δέκα· ἀφ᾽ ἑκάστης δὲ τῆς πεμπάδος εἷς ἡμεροφύλαξ κατελείπετο· καὶ ἕνα μὲν ἔτι καθεύδοντα ἀπέκτειναν, ἄλλον δὲ καταφυγόντα πρὸς τὸ Ἡραιον. φυγῇ δ᾽ ἐξαλλομένων κατὰ τοῦ τείχους τοῦ εἰς τὸ ἄστυ δρῶντος τῶν ἡμεροφυλάκων,

7 ἀναμφισβητήτως εἶχον οἱ ἀναβάντες τὴν ἀκρόπολιν. ἐπεὶ δὲ κραυγῆς εἰς τὴν πόλιν ἀφικομένης ἐβοήθουν οἱ πολῖται, τὸ μὲν πρῶτον ἐπεξελθόντες ἐκ τῆς ἀκροπόλεως οἱ πολέμιοι ἐμάχοντο ἐν τῷ πρόσθεν τῶν εἰς τὴν πόλιν φερουσῶν πυλῶν· ἔπειτα πολιορκού-

---

als *δέ*. — *διαφέρον ἤ*] vgl. *ἄλλο ἤ*; formell zu *τρόπαιον*, logisch auch zum Verb. gehörig.

5. *αὖθις*] ein neues Zeugnis von der Treue der Phliasier, welches § 7 in ihrem Heldenmute hervortritt. — *προσήνεγκαν*] *αὐτοῖς* d. i. *τοῖς Ἀρκάσι καὶ τ. Ἠλείοις*. — *φυγάδες*] also jetzt Feinde der Stadt Phlius und der Lacedämonier. — *μόνον*] betont *ἐπιφανῆναι*; ähnliches Scheinmanöver § 20. — *τῷ τείχει*] an der Nordseite der Akropolis um die es sich hier handelt. — *κλίμακας*] „Leitern"; anders § 7. — *οἱ σκοποί*] *τῶν Φλιασίων*. — *ἐσήμαινον*] der Objekts-Aussagesatz dazu ist durch den kausalen Partizipialsatz vertreten; vgl. V, 1, 25. — *Τρικαράνου*] damals noch ohne Kastell, vgl. § 1. — *ἐπιόντων*] *τῶν Ἀρκάδων καὶ Ἠλείων*, aus dem Nemeathal, von S. her. — *οἱ προδιδόντες*] Temp. de conatu; die in der Stadt gebliebenen bisher nicht erwähnten Anhänger der *φυγάδες*. — *ἐσήμαινον ... ἀναβαίνειν*] hier Verb. imperandi.

6. *τὰ ὅπλα*] metonym. „Waffenplatz". — *ἔρημα*] *τῶν νυκτοφυλάκων ὄντα*, durch das folgende erklärt. — *ἀφ᾽ ἑκάστης δέ*] „denn" u. s. w. — *πεμπάς*] Wachtkommando zu 5 Mann. — *εἷς*] distributiv. — *κατελείπετο*] „pflegte z. b.". — *κατὰ τοῦ τείχους*] der Akropolis wie § 5.

7. *τῶν ... πυλῶν*] „das Thor"; eigentl. die 2 Thorflügel, *ἡ πύλη* „die

μενοι ὑπὸ τῶν προσβοηθούντων ἐχώρουν πάλιν πρὸς τὴν ἀκρόπολιν· οἱ δὲ πολῖται συνεισπίπτουσιν αὐτοῖς. τὸ μὲν οὖν μέσον τῆς ἀκροπόλεως εὐθὺς ἔρημον ἐγένετο· ἐπὶ δὲ τὸ τεῖχος καὶ τοὺς πύργους ἀναβάντες οἱ πολέμιοι ἔπαιον καὶ ἔβαλλον τοὺς ἔνδον· οἱ δὲ χαμᾶθεν ἠμύνοντο καὶ κατὰ τὰς ἐπὶ τὸ τεῖχος φερούσας κλίμακας προσεμάχοντο. ἐπεὶ δὲ τῶν ἔνθεν καὶ ἔνθεν πύργων ἐκρά- 8
τησάν τινων οἱ πολῖται, ὁμόσε δὴ ἐχώρουν ἀπονενοημένως τοῖς ἀναβεβηκόσιν. οἱ δὲ ὠθούμενοι ὑπ᾽ αὐτῶν τῇ τόλμῃ τε καὶ μάχῃ εἰς ἔλαττον συνειλοῦντο. ἐν δὲ τούτῳ τῷ καιρῷ οἱ μὲν Ἀρκάδες καὶ οἱ Ἀργεῖοι περὶ τὴν πόλιν ἐκυκλοῦντο, καὶ κατὰ κεφαλὴν τὸ τεῖχος τῆς ἀκροπόλεως διώρυττον· τῶν δ᾽ ἔνδοθεν οἱ μὲν τοὺς ἐπὶ τοῦ τείχους, οἱ δὲ καὶ ἔξωθεν ἔτι ἐπαναβαίνοντας, ἐπὶ ταῖς

Pforte“. — *τὸ μέσον*] das sehr geräumige, sogar zum Ackerland (§ 8) benutzte Innere der Burg; Gegens. vorher *τῷ πρόσθεν*. — *ἔρημον*] *τῶν πολεμίων*. — *ἔπαιον καὶ ἔβαλλον*] *cominus et eminus*. — *κατὰ τάς*] sich verteilend „auf“, allgemeiner als *ἐν*. — *κλίμακας*] „Treppen“, anders § 5.

8. *τῶν πύργων*] abh. von *τινων*. — *ἔνθεν καὶ ἔνθεν*] also nahezu Umzingelung. — *ἀπονενοημένως*] *ἀπονοεῖν* = *desperare*. — *τόλμῃ καὶ μάχῃ*] also unter moralischem und physischen Drucke. — *εἰς ἔλαττον*] auf einen immer engeren Raum. — *οἱ Ἀργεῖοι*] zwar 1, 18, aber nicht 2, 5 erwähnt, wo sie offenbar unter *πολεμίων ἐπιόντων* mit zu verstehen sind. — *κατὰ κεφαλήν*] „an der Stirn“, d. i. an der nach N. liegenden höheren Vorderseite, welche den früheren wie den späteren Angreifern zugekehrt, aber dem Fuſs der Burg und somit der Stadt abgekehrt war. — *ἐκυκλοῦντο*] von S. kommend nach N. zu. — *διώρυττον*] Temp. de conatu; zunächst nur wie *ἐκυκλοῦντο* ein Scheinmanöver, entsprechend der Verabredung § 5: *εἰ ἐθελήσειαν ἐπιφανῆναι μόνον σφίσιν*. — *τῶν δ᾽ ἔνδοθεν*] *πολιτῶν τῶν Φλιασίων*; Attraktion zum Prädikat. — *οἱ μὲν τοὺς ἐπὶ τοῦ τείχους κτλ.*] Der Singular mit Bezug auf *εἰς ἔλαττον συνειλοῦντο*. Die Situation ist folgende: Die in ihrer Burg bis zu den Türmen bisher siegreich vorgedrungenen Phliasier geraten in eine schwierige Lage; denn wenn auch nur scheinbaren, aber doch immerhin von auſsen drohenden Angriffe neuer Feinde gegenüber galt es zunächst die bereits auf der Burg befindlichen Feinde mit aller Energie zu werfen; von diesen stehen die einen auf der Mauer (*τοὺς ἐπὶ τοῦ τείχους*), bereits *συνειλούμενοι*; zu ihnen suchen mittels der schon früher benutzten Leitern einzelne der neuen Ankömmlinge auch von auſsen her (*καὶ ἔξωθεν*) zu gelangen; es sind daher seitens der Bürger speziell auf der Mauer 2 Gruppen von Verteidigern erforderlich *οἱ μὲν* ... *οἱ δέ*; die dritte Gruppe der Feinde ist bei der Ankunft neuer Bundesgenossen sofort wieder (*αὖθις*) auf die Türme gestiegen, wo sie vorher bedrängt gewesen waren (*ὠθούμενοι*); ihre Abwehr setzt die dritte Gruppe der phliasischen Bürger in Thätigkeit. Im groſsen und

κλίμαξιν ὄντας, ἔπαιον, οἱ δὲ πρὸς τοὺς ἀναβεβηκότας αὖθις ἐπὶ τοὺς πύργους ἐμάχοντο, καὶ πῦρ εὑρόντες ἐν ταῖς σκηναῖς ὑφῆπτον αὐτούς, προσφοροῦντες τῶν δραγμάτων ἃ ἔτυχον ἐξ αὐτῆς τῆς ἀκροπόλεως τεθερισμένα. ἐνταῦθα δὴ οἱ μὲν ἀπὸ τῶν πύργων τὴν φλόγα φοβούμενοι ἐξήλλοντο, οἱ δὲ ἐπὶ τῶν τειχῶν ὑπὸ τῶν ἀνδρῶν παιόμενοι ἐξέπιπτον. ἐπεὶ δ' ἅπαξ ἤρξαντο ὑπείκειν, ταχὺ δὴ πᾶσα ἡ ἀκρόπολις ἔρημος τῶν πολεμίων ἐγεγένητο. εὐ-
9 θὺς δὲ καὶ οἱ ἱππεῖς ἐξήλαυνον· οἱ δὲ πολέμιοι ἰδόντες αὐτοὺς ἀπεχώρουν καταλιπόντες τάς τε κλίμακας καὶ τοὺς νεκρούς, ἐνίους δὲ καὶ ζῶντας ἀποκεχωλευμένους. ἀπέθανον δὲ τῶν πολεμίων οἵ τε ἔνδον μαχόμενοι καὶ οἱ ἔξω ἁλλόμενοι οὐκ ἐλάττους τῶν ὀγδοήκοντα. ἔνθα δὴ θεάσασθαι παρῆν ἐπὶ τῆς σωτηρίας τοὺς μὲν ἄνδρας δεξιουμένους ἀλλήλους, τὰς δὲ γυναῖκας πιεῖν τε φερούσας καὶ ἅμα χαρᾷ δακρυούσας· πάντας δὲ τοὺς παρόντας τότε γε τῷ ὄντι κλαυσίγελως εἶχεν.

10 Ἐνέβαλον δὲ καὶ τῷ ὑστέρῳ ἔτει* εἰς τὸν Φλιοῦντα οἵ τε Ἀργεῖοι καὶ οἱ Ἀρκάδες ἅπαντες. αἴτιον δ' ἦν τοῦ ἐπικεῖσθαι

---

ganzen aber handelt es sich nur um den Mauer- und Turmkampf, daher nachher nur noch 2 Gruppen von Gegnern bezeichnet sind: *οἱ μὲν ἀπὸ τῶν πύργων ... ἔξω ἁλλόμενοι* und *οἱ δὲ ἐπὶ τῶν τειχῶν ... ἔνδον μαχόμενοι.* — *αὖθις*] nach dem Erscheinen der Helfer; vorher *ὁμόσε ἐχώρουν ... ὠθούμενοι συνειλοῦντο*; andernfalls würde es einfach heifsen *πρὸς τοὺς ἐπὶ τῶν πύργων.* — *ὑφῆπτον*] erst jetzt im Drange der äufsersten Not. — *τῶν δραγμάτων*] vgl. VI, 4, 30. — *ἔτυχον*] st. *ἔτυχεν*, um die Masse der Garben zu versinnlichen. — *τεθερισμένα*] *ἐν τῷ μέσῳ τῆς ἀκροπόλεως.* — *ἀπὸ τῶν πύργων*] vgl. V, 1, 5. — *ἐπὶ τῶν τειχῶν*] nunmehr auf den verschiedenen Teilen der Mauer; vorher der Singular. — *ἐξήλλοντο ... ἐξέπιπτον*] Warum das Imperfekt.? — *ἐγεγένητο*] vgl. V, 1, 22.

9. *ἐξήλαυνον*] *ἐκ τῆς κάτω πόλεως.* — *ἀποκεχωλευμένους*] kausal zu *καταλιπόντες*; *ἀποχωλεύω* transitiv = *χωλόω.* — *ἔνδον*] *ἐπὶ τῶν τειχῶν.* — *ἔξω*] *ἐν ταῖς κλίμαξι καὶ ἀπὸ τῶν πύργων.* — *τῶν ὀγδοήκοντα*] im D. ohne Artikel. Im Griech. steht der Artikel zur Bezeichnung eines bestimmten Bruchteils, auch wenn er benannt ist. — *θεάσασθαι παρῆν*] *cernere licebat = cerneres*, vgl. VI, 4, 16. — *ἄνδρας ... γυναῖκας*] *τ. Φλιασίων*; ähnliche Schilderung 1, 32. — *πιεῖν*] Inf. des Zwecks ohne Artikel bei den Verben des Nehmens, Gebens, Überlassens, wo im Lat. das Gerundivum steht. — *τῷ ὄντι*] Hinweis auf eine sprichwörtliche Redensart. — *κλαυσίγελως*] Oxymoron. Hom.: *δακρυόεν γελάσασα*; Accent bei den Kompos. auf *γελως* und *κερως* nach Analogie der 2. attischen Deklination.

10. *αἴτιον*] das Subjekt dazu bildet der Satz *ὅτι κτλ.*, das Objekt der Gen.

αὐτοὺς ἀεὶ τοῖς Φλιασίοις ὅτι ἅμα μὲν ὠργίζοντο αὐτοῖς, ἅμα δὲ ἐν μέσῳ εἶχον καὶ ἐν ἐλπίδι ἦσαν ἀεὶ διὰ τὴν ἀπορίαν τῶν ἐπιτηδείων παραστήσεσθαι αὐτούς. οἱ δ' ἱππεῖς καὶ οἱ ἐπίλεκτοι τῶν Φλιασίων καὶ ἐν ταύτῃ τῇ ἐμβολῇ ἐπὶ τῇ διαβάσει τοῦ ποταμοῦ ἐπιτίθενται σὺν τοῖς παροῦσι τῶν Ἀθηναίων ἱππεῦσι· καὶ κρατήσαντες ἐποίησαν τοὺς πολεμίους τὸ λοιπὸν τῆς ἡμέρας ἐπὶ τὰς ἀκρωρείας ὑποχωρεῖν, ὥσπερ ἀπὸ φιλίου καρποῦ τοῦ ἐν τῷ πεδίῳ φυλαττομένους μὴ καταπατήσειαν.

Αὖθις* δέ ποτε ἐστράτευσεν εἰς τὸν Φλιοῦντα ὁ ἐν τῷ Σι- 11
κυῶνι ἄρχων Θηβαῖος, ἄγων οὕς τε αὐτὸς εἶχε φρουροὺς καὶ Σικυωνίους καὶ Πελληνέας· ἤδη γὰρ τότε ἠκολούθουν τοῖς Θηβαίοις· καὶ Εὔφρων δὲ τοὺς αὑτοῦ ἔχων μισθοφόρους περὶ δισχιλίους συνεστρατεύετο. οἱ μὲν οὖν ἄλλοι αὐτῶν διὰ τοῦ Τρικαράνου κατέβαινον ἐπὶ τὸ Ἡραιον, ὡς τὸ πεδίον φθεροῦντες· κατὰ δὲ τὰς εἰς Κόρινθον φερούσας πύλας ἐπὶ τοῦ ἄκρου κατέλιπε Σικυωνίους τε καὶ Πελληνέας, ὅπως μὴ ταύτῃ περιελθόντες οἱ Φλιάσιοι κατὰ κεφαλὴν αὐτῶν γένοιντο ὑπὲρ τοῦ Ἡραίου. ὡς δ' ἔγνωσαν οἱ ἐκ 12
τῆς πόλεως τοὺς πολεμίους ἐπὶ τὸ πεδίον ὡρμημένους, ἀντεξελ-

---

des substantiv. Infinitivs. — *αὐτούς*] die beiden genannten Völker, zwischen deren Gebieten (*ἐν μέσῳ*) Phlius lag. — *οἱ ἐπίλεκτοι*] die auserlesene Schar, ähnl. wie die 300 in Theben — *τοῦ ποταμοῦ*] d. Asopos. — *ἀκρωρείας*] d. Kyllenegebirge. — *ὥσπερ*] ironisch. — *ἀπὸ ... καρποῦ*] im Sinne von *ἀπεχομένους* mit Gen. — *φιλίου*] = *τῶν φίλων*, nach Analogie von *bellum servile, Herculeus labor* u. a. — *καταπατήσειαν*] das Objekt *καρπόν* ist durch Prolepsis in den Hauptsatz gezogen.

11. *ἄρχων Θηβαῖος*] ein thebanischer Harmost, vgl. 1, 43. — *ἤδη τότε*] vgl. dagegen § 2 *οὔπω τότε* 369 v. Chr. — *Εὔφρων ... μισθοφόρους*] vgl. 1, 44 bis 46. — *οἱ ἄλλοι*] prolept. im Gegens. zu *Σικυωνίους κτλ.* — *Τρικαράνου*] das T.-Gebirge, nicht das Kastell. Nach der § 2—10 eingelegten Episode über die früheren Thaten von Phlius kehrt jetzt die Erzählung wieder zu den § 1 angedeuteten Ereignissen d. J. 367 zurück. — *κατὰ ... πύλας*] gegenüber d. Th. also auf der Höhe im NO. der Akropolis von Phlius. — *ταύτῃ*] *ἐπὶ τοῦ ἄκρου.* — *κατὰ κεφαλήν*] verb. mit *αὐτῶν*, eigentlich ihrem Haupt gegenüber = „von oben her in den Rücken"; vgl. „über den Hals kommen". Auch hier ist wie § 8 der bildliche Gegensatz von Kopf und Fufs mafsgebend; ersteren stellen die Phliasier auf der Höhe, letzteren die Feinde in der Ebene dar. — *ὑπὲρ τοῦ Ἡραίου*] am Abhange der Höhe, nahe der Ebene; vgl. vorher *κατέβαινον ἐπὶ τὸ Ἥραιον*.

12. *οἱ ἐκ τῆς πόλεως*] = *οἱ ἔνδοθεν* d. i. *οἱ Φλιάσιοι.* — *οἱ ἐπίλεκτοι*] vgl. § 10. — *ἀνίεσαν*] *concedere* sc. *ὥστε*

θόντες οἵ τε ἱππεῖς καὶ οἱ ἐπίλεκτοι τῶν Φλιασίων ἐμάχοντο καὶ οὐκ ἀνίεσαν εἰς τὸ πεδίον αὐτούς. καὶ τὸ μὲν πλεῖστον τῆς ἡμέρας ἐνταῦθα ἀκροβολιζόμενοι διῆγον, οἱ μὲν περὶ τὸν Εὔφρονα ἐπιδιώκοντες μέχρι τοῦ ἱππασίμου, οἱ δὲ ἔνδοθεν μέχρι τοῦ
13 *Ἡραίου. ἐπεὶ δὲ καιρὸς ἐδόκει εἶναι, ἀπῄεσαν οἱ πολέμιοι κύκλῳ τοῦ Τρικαράνου· ὥστε γὰρ τὴν σύντομον πρὸς τοὺς Πελληνέας ἀφικέσθαι ἡ πρὸ τοῦ τείχους φάραγξ εἶργεν. μικρὸν δ' αὐτοὺς πρὸς τὸ ὄρθιον προπέμψαντες οἱ Φλιάσιοι ἀποτρεπόμενοι ἵεντο τὴν παρὰ τὸ τεῖχος ἐπὶ τοὺς Πελληνέας καὶ τοὺς μετ' αὐτῶν.*
14 *καὶ οἱ περὶ τὸν Θηβαῖον δὲ αἰσθόμενοι τὴν σπουδὴν τῶν Φλιασίων ἡμιλλῶντο, ὅπως φθάσειαν τοῖς Πελληνεῦσι βοηθήσαντες. ἀφικόμενοι δὲ πρότεροι οἱ ἱππεῖς ἐμβάλλουσι τοῖς Πελληνεῦσιν. δεξαμένων δὲ τὸ πρῶτον, ἐπαναχωρήσαντες πάλιν σὺν τοῖς παραγεγενημένοις τῶν πεζῶν ἐνέβαλον καὶ ἐκ χειρὸς ἐμάχοντο. καὶ ἐκ τούτου δὴ ἐγκλίνουσιν οἱ πολέμιοι καὶ ἀποθνήσκουσι τῶν τε Σικυωνίων τινὲς καὶ τῶν Πελληνέων μάλα πολλοὶ καὶ ἄνδρες ἀγα-*
15 *θοί. τούτων δὲ γενομένων οἱ μὲν Φλιάσιοι τρόπαιον ἵσταντο λαμπρὸν παιανίζοντες, ὥσπερ εἰκός· οἱ δὲ περὶ τὸν Θηβαῖον καὶ τὸν Εὔφρονα περιεώρων ταῦτα, ὥσπερ ἐπὶ θέαν παραδεδραμηκότες. τούτων δὲ πραχθέντων, οἱ μὲν ἐπὶ Σικυῶνος ἀπῆλθον, οἱ δ' εἰς τὸ ἄστυ ἀπεχώρησαν.*

καταβαίνειν; die Präposition *ἀνα-* hat hier nicht räumliche, sondern übertragene Bedeutung. — *ἐπιδιώκοντες*] *τοὺς ἐναντίους*. — *ἱππασίμου*] *πεδίου*, ***locus equitibus idoneus.***

13. *καιρὸς εἶναι*] erg. *ἀπιέναι* aus dem Hauptsatz, ähnlich wie V, 5, 54 *ἐπεὶ ὥρα ἦν, ἀπελθών*. — *κύκλῳ*] in einem Bogen des Tr., d. h. auf dem Tr. — *ὥστε ... ἀφικέσθαι*] ohne *μή* kann nicht direkt von *εἶργε* abhängen, sondern nur von einem elliptischen Zwischensatze wie etwa *οὕτως ἀπιέναι*. — *τὴν σύντομον*] *ὁδόν*; *συντέμνειν* = ***corripere.*** — *πρὸς τοὺς Πελληνέας*] *καὶ τοὺς μετ' αὐτῶν*, d. i. *τοὺς Σικυωνίους οὓς ... κατέλιπε* § 11. — *φάραγξ*] Schlucht eines Nebenfl. zum Asopos im SO. der Stadt. — *προπέμψαντες*] natürlich in feindlichem Sinne = *διώξαντες*. — *τὴν παρὰ τὸ τεῖχος*] *ὁδόν* = *τὴν σύντομον* längs der Ostmauer der Stadt, welchen die Feinde mieden.

14. *οἱ ἱππεῖς*] *τῶν Φλιασίων*. — *δεξαμένων*] *τούτων*, d. i. *τῶν Πελληνέων*, absolut „stand halten". — *ἐπαναχωρήσαντες*] anfänglich, adversativ zu *πάλιν* mit dem Verb. finit. — *ἐκ χειρός*] ***cominus.*** — *καὶ ἄνδρες*] *καί* = ***et quidem.***

15. *λαμπρόν*] *παιᾶνα*; Accus. des Inhalts; vgl. ***dulce ridentem*** u. a. — *ταῦτα*] *γιγνόμενα*. — *ἐπὶ θέαν*] *καὶ οὐκ ἐπὶ βοήθειαν*; ***ad spectaculum.*** — *ἄστυ*] Phlius.

Καλὸν δὲ καὶ τοῦτο διεπράξαντο οἱ Φλιάσιοι· τὸν γὰρ Πελ- 16
ληνέα Πρόξενον ζῶντα λαβόντες, καίπερ πάντων σπανιζόμενοι,
ἀφῆκαν ἄνευ λύτρων. γενναίους μὲν δὴ καὶ ἀλκίμους πῶς οὐκ ἄν
τις φαίη εἶναι τοὺς τοιαῦτα διαπραττομένους;
Ὥς γε μὴν καὶ διὰ καρτερίας τὴν πίστιν τοῖς φίλοις διέσω- 17
ζον, περιφανές· οἳ ἐπεὶ εἴργοντο τῶν ἐκ τῆς γῆς καρπῶν, ἔζων
τὰ μὲν ἐκ τῆς πολεμίας λαμβάνοντες, τὰ δὲ ἐκ Κορίνθου ὠνού-
μενοι, διὰ πολλῶν κινδύνων ἐπὶ τὴν ἀγορὰν ἰόντες, χαλεπῶς μὲν
τιμὴν πορίζοντες, χαλεπῶς δὲ τοὺς πορίζοντας διαπραττόμενοι,
γλίσχρως δ' ἐγγυητὰς καθιστάντες τῶν ἀξόντων ὑποζυγίων. ἤδη 18
δὲ παντάπασιν ἀποροῦντες Χάρητα διεπράξαντο σφίσι παρα-
πέμψαι τὴν παραπομπήν. ἐπεὶ δ' ἐν Φλιοῦντι ἐγένοντο, ἐδεήθη-
σαν αὐτοῦ καὶ τοὺς ἀχρείους συνεκπέμψαι εἰς τὴν Πελλήνην. κἀ-
κείνους μὲν ἐκεῖ κατέλιπον, ἀγοράσαντες δὲ καὶ ἐπισκευασάμενοι
ὁπόσα ἐδύναντο ὑποζύγια νυκτὸς ἀπῄεσαν, οὐκ ἀγνοοῦντες, ὅτι
ἐνεδρεύσοιντο ὑπὸ τῶν πολεμίων, ἀλλὰ νομίζοντες χαλεπώτερον
εἶναι τοῦ μάχεσθαι τὸ μὴ ἔχειν τἀπιτήδεια. καὶ προῄεσαν μὲν 19
οἱ Φλιάσιοι μετὰ Χάρητος· ἐπεὶ δὲ ἐνέτυχον τοῖς πολεμίοις,
εὐθὺς ἔργου τε εἴχοντο καὶ παρακελευσάμενοι ἀλλήλοις ἐνέκειντο
καὶ ἅμα Χάρητα ἐπιβοηθεῖν ἐβόων. νίκης δὲ γενομένης καὶ ἐκ-
βληθέντων ἐκ τῆς ὁδοῦ τῶν πολεμίων, οὕτω δὴ οἴκαδε καὶ ἑαυτοὺς
καὶ ἃ ἦγον ἀπέσωσαν. ὡς δὲ τὴν νύκτα ἠγρύπνησαν, ἐκάθευδον
μέχρι πόρρω τῆς ἡμέρας. ἐπεὶ δὲ ἀνέστη ὁ Χάρης, προσελθόντες 20

---

16. *τοῦτο*] „folgendes“, statt *τόδε*, wenn es determinativ steht *τοῦτο* sc. *ὃ ἐπράξαντο*.

17. ***διὰ καρτερίας*] *cum constantia*** zur Bezeichnung des begleitenden Umstandes; vgl. V, 4, 24. — ***διέσωζον***] immer noch *οἱ Φλιάσιοι*. — ***τιμήν***] ***τῶν ἐπιτηδείων***, „Kaufpreis“. — ***πορίζοντας***] ***τὰ ἐπιτήδεια***. — ***διαπραττόμενοι***] „gewinnen“. — *γλίσχρως*] gesteigertes *χαλεπῶς*.

18. *Χάρητα*] Feldherr d. Athener. — *ἀποροῦντες*] *τῶν ἐπιτηδείων*. — *παραπομπήν*] *τῶν ἐπιτηδείων*, „Deckungsgeleite“. — *τοὺς ἀχρείους*] ***qui arma ferre non poterant***. — *Πελλήνην*] jetzt wieder auf der Seite von Phlius, offenbar seit dem Siege dieser Stadt und infolge der Indolenz der Bundesgenossen § 15 bis 16. — *ἀγοράσαντες*] *ἐν Πελλήνῃ*. — *ἐνεδρεύσοιντο*] Fut. Med. mit passiver Bedeutung wie es auch sonst öfter der Fall ist. — *οὐκ* ... *ἀλλά*] „zwar nicht ... aber“, also nicht wie sonst im starken Gegensatz „nicht ... sondern“.

19. *ἔργου*] Metonymie. — *ἐνέκειντο*] ***instare***; was ist zu ergänzen? — *ἐπιβοηθεῖν*] welchen Modus der Or. recta vertretend? — *οὕτω δή*] epanaleptisch zu welchem Begriffe? — *μέχρι πόρρω*] „bis zu vorgerückter Zeit“.

οἵ τε ἱππεῖς καὶ οἱ χρησιμώτατοι τῶν ὁπλιτῶν ἔλεγον· Ὦ Χάρης, ἔξεστί σοι τήμερον κάλλιστον ἔργον διαπράξασθαι. χωρίον γὰρ ἐπὶ τοῖς ὅροις ἡμῖν οἱ Σικυώνιοι τειχίζουσιν, οἰκοδόμους μὲν πολλοὺς ἔχοντες, ὁπλίτας δὲ οὐ πάνυ πολλούς. ἡγησόμεθα μὲν οὖν ἡμεῖς οἱ ἱππεῖς καὶ τῶν ὁπλιτῶν οἱ ἐρρωμενέστατοι· σὺ δὲ τὸ ξενικὸν ἔχων ἐὰν ἀκολουθῇς, ἴσως μὲν διαπεπραγμένα σοι καταλήψῃ, ἴσως δὲ ἐπιφανεὶς σὺ τροπήν, ὥσπερ ἐν Πελλήνῃ, ποιήσεις. εἰ δέ τι δυσχερές σοί ἐστιν ὧν λέγομεν, ἀνακοίνωσαι τοῖς θεοῖς θυόμενος· οἰόμεθα γὰρ ἔτι σε μᾶλλον ἡμῶν τοὺς θεοὺς ταῦτα πράττειν κελεύσειν. τοῦτο δὲ χρή, ὦ Χάρης, εὖ εἰδέναι, ὅτι, ἐὰν ταῦτα πράξῃς, τοῖς μὲν πολεμίοις ἐπιτετειχικὼς ἔσῃ, φιλίαν δὲ πόλιν διασεσωκώς, εὐκλεέστατος δὲ ἐν τῇ πατρίδι ἔσῃ, ὀνομαστό-
21 τατος δὲ καὶ ἐν τοῖς συμμάχοις καὶ πολεμίοις. ὁ μὲν δὴ Χάρης πεισθεὶς ἐθύετο· τῶν δὲ Φλιασίων εὐθὺς οἱ μὲν ἱππεῖς τοὺς θώρακας ἐνεδύοντο καὶ τοὺς ἵππους ἐχαλίνουν, οἱ δὲ ὁπλῖται ὅσα εἰς πεζὸν παρεσκευάζοντο. ἐπεὶ δὲ ἀναλαβόντες τὰ ὅπλα ἐπορεύοντο ἔνθα ἐθύετο, ἀπήντα αὐτοῖς ὁ Χάρης καὶ ὁ μάντις καὶ ἔλεγον, ὅτι καλὰ τὰ ἱερά. ἀλλὰ περιμένετε, ἔφασαν· ἤδη γὰρ καὶ ἡμεῖς ἔξιμεν. ὡς δὲ τάχιστα ἐκηρύχθη, θείᾳ τινὶ προθυμίᾳ καὶ
22 οἱ μισθοφόροι ταχὺ ἐξέδραμον. ἐπεὶ δὲ Χάρης ἤρξατο πορεύεσθαι, προῄεσαν αὐτῷ οἱ τῶν Φλιασίων ἱππεῖς καὶ πεζοί· καὶ

---

20. *ἡμῖν*] Dat. incomm. — *χωρίον*] *Θυαμία* § 1. — *ἡγησόμεθα*] welcher Kasus ist zu ergänzen? — *διαπεπραγμένα*] Prädikat zu dem Sinnobjekt *ἃ ἐπινοοῦμεν*. — *σοι*] Dat. ethicus. — *ἐπιφανείς*] Part. explicat.; ähnliches Manöver § 5. — *τροπήν*] *τῶν πολεμίων*. — *ἀνακοίνωσαι*] *communicare c. aliquo* einen Wunsch mitteilen mit der Bitte um Bescheid d. i. „sich befragen bei". — *σε ... τοὺς θεούς*] Subjekt? — *θυόμενος*] explikativ wie sonst das Part. Aor. — *τοῦτο*] statt *τόδε* wegen des korrespondierenden *ὅτι*, vgl. zu § 16. — *πολεμίοις*] Dat. incommodi, vgl. § 1. — *ἐπιτετειχικώς*] absolut. — *ἔσῃ*] gehört auch zum 2. Partizip und zum 2. Superlativ in den vier koordinierten Gliedern mit anaphorischer und zugleich chiastischer Stellung.

21. *ὅσα*] *παρασκευάζεσθαι δεῖ*, vgl. VI, 1, 10; 2, 27. — *ἐπορεύοντο*] *ἐκεῖσε*. — *ὁ μάντις*] „Opferdeuter". — *καλά*] *ἐγίγνετο*. — *ἀλλά*] exhortativ. — *ἔφασαν*] *οἱ ἀμφὶ Χάρητα*. — *ἤδη*] = *ἅμα*, gegen den Vorschlag der Phliasier *ἐὰν ... ἀκολουθῇς* § 20. — *ὡς τάχιστα*] *ut primum*. — *ἐκηρύχθη*] „das Signal zum Aufbruch geben". — *οἱ μισθοφόροι*] *τὸ ξενικὸν τοῦ Χάρητος*. — *θείᾳ*] *divinitus exorta*, infolge der *καλὰ ἱερά*.

22. *προῄεσαν ... ἡγοῦντο*] Sie suchten also das *ἡγησόμεθα* (§ 20) so viel wie möglich durchzusetzen. — *αὐτῷ*]

τὸ μὲν πρῶτον ταχέως ἡγοῦντο, ἔπειτα δὲ ἐτρόχαζον· τέλος δὲ οἱ μὲν ἱππεῖς κατὰ κράτος ἤλαυνον, οἱ δὲ πεζοὶ κατὰ κράτος ἔθεον ὡς δυνατὸν ἐν τάξει, οἷς καὶ ὁ Χάρης σπουδῇ ἐπηκολούθει. ἦν μὲν οὖν τῆς ὥρας μικρὸν πρὸ δύντος ἡλίου· κατελάμβανον δὲ τοὺς ἐν τῷ τείχει πολεμίους τοὺς μὲν λουομένους, τοὺς δ' ὀψοποιουμένους, τοὺς δὲ φυρῶντας, τοὺς δὲ στιβάδας ποιουμένους. ὡς δ' 23
εἶδον τὴν σφοδρότητα τῆς ἐφόδου, εὐθὺς ἐκπλαγέντες ἔφυγον καταλιπόντες τοῖς ἀγαθοῖς ἀνδράσι πάντα τἀπιτήδεια. κἀκεῖνοι μὲν ταῦτα δειπνήσαντες καὶ οἴκοθεν ἄλλα ἐλθόντα, ὡς ἐπ' εὐτυχίᾳ σπείσαντες καὶ παιανίσαντες καὶ φυλακὰς καταστησάμενοι κατέδαρθον. οἱ δὲ Κορίνθιοι, ἀφικομένου τῆς νυκτὸς ἀγγέλου περὶ τῆς Θυαμίας, μάλα φιλικῶς κηρύξαντες τὰ ζεύγη καὶ τὰ ὑποζύγια πάντα καὶ σίτου γεμίσαντες εἰς τὸν Φλιοῦντα παρήγαγον· καὶ ἕωσπερ ἐτειχίζετο τὸ τεῖχος, ἑκάστης ἡμέρας παραπομπαὶ ἐγίγνοντο.

Περὶ μὲν δὴ Φλιασίων, ὡς καὶ πιστοὶ τοῖς φίλοις ἐγένοντο 3
καὶ ἄλκιμοι ἐν τῷ πολέμῳ διετέλεσαν, καὶ ὡς πάντων σπανίζοντες διέμενον ἐν τῇ συμμαχίᾳ, εἴρηται. σχεδὸν δὲ περὶ τοῦτον τὸν χρόνον Αἰνέας Στυμφάλιος, στρατηγὸς τῶν Ἀρκάδων γεγενημένος,

---

Dat. d. Bez., vgl. V, 4, 59. — *κατὰ κράτος*] „im Sturmschritt", anaphorisch. — *τῷ τείχει*] vgl. § 20, *Θυαμίας*. — *τῆς ὥρας*] Genet. partit., abhängig von dem Adverbiale *μικρὸν … ἡλίου*, analog *πηνίκα τῆς ἡμέρας*, *εἰς τοῦτο παρανομίας*, *ubi terrarum* u. a. — *φυρῶντας*] „Brot kneten". — *στιβάδας*] vgl. 1, 16.

23. *εἶδον*] *οὗτοι*; Subjektswechsel. — *ἀγαθοῖς*] *ἀνδρείοις*. — *τἀπιτήδεια*] Die Bedeutung ergiebt sich aus dem folg. Satz. — *ἐλθόντα*] Personifikation. — *ὡς ἐπ' εὐτυχίᾳ*] *ὡς εὐτυχοῦντες*; vgl. VI, 4, 29. — *τῆς νυκτός*] Genet. des Zeitraums. — *περὶ τῆς Θ.*] *ἁλούσης*, Brachylogie. — *κηρύξαντες*] Brachylogie sc. *παρέχειν* = *imperare*, „aufbieten". — *ζεύγη*] „Gespanne". — *ἐτειχίζετο*] *Θυαμία*, wobei die Phliasier das von den feindlichen Sikyoniern begonnene Werk in ihrem Interesse zu Ende führten. — *παραπομπαί*] vgl. § 18.

Kap. 3. § 1/3: Ende der Tyrannei des Euphron in Sicyon (366 v. Chr.). — § 4/5: Ermordung des Euphron in Theben (366). — § 6/12: Prozefs gegen die Mörder. Anklage- und Verteidigungsreden. Freisprechung der Mörder (366).

1. *ὡς … εἴρηται*] die in der Anabasis regelmäfsige Form der Rekapitulatio. — *ἄλκιμοι*] *ὄντες*; zur Sache vgl. 2, 16. — *συμμαχίᾳ*] *τῶν Λακεδαιμονίων*. — *σπανίζοντες*] konzessiv. — *τοῦτον τὸν χρόνον*] am Ende des J. 367. — *Στυμφάλιος*] aus Stymphalos in NO. v. Arkadien an der Grenze von

νομίσας οὐκ ἀνεκτῶς ἔχειν τὰ ἐν τῷ Σικυῶνι, ἀναβὰς σὺν τῷ ἑαυτοῦ στρατεύματι εἰς τὴν ἀκρόπολιν συγκαλεῖ τῶν Σικυωνίων τῶν τε ἔνδον ὄντων τοὺς κρατίστους καὶ τοὺς ἄνευ δόγματος ἐκπεπτω-
2 κότας μετεπέμψατο. φοβηθεὶς δὲ ταῦτα ὁ Εὔφρων καταφεύγει εἰς τὸν λιμένα τῶν Σικυωνίων καὶ μεταπεμψάμενος Πασίμηλον ἐκ Κορίνθου διὰ τούτου παραδίδωσι τὸν λιμένα τοῖς Λακεδαιμονίοις καὶ ἐν ταύτῃ αὖ τῇ συμμαχίᾳ ἀνεστρέφετο, λέγων, ὡς Λακεδαιμονίοις διατελοίη πιστὸς ὤν· ὅτε γὰρ ψῆφος ἐδίδοτο ἐν τῇ πόλει, εἰ δοκοίη ἀφίστασθαι, μετ᾽ ὀλίγων ἀποψηφίσασθαι
3 ἔφη· ἔπειτα δὲ τοὺς προδόντας ἑαυτὸν βουλόμενος τιμωρήσασθαι δῆμον καταστῆσαι. καὶ νῦν, ἔφη, φεύγουσιν ὑπ᾽ ἐμοῦ πάντες οἱ ὑμᾶς προδιδόντες. εἰ μὲν οὖν ἐδυνάσθην ἐγώ, ὅλην ἂν ἔχων τὴν πόλιν πρὸς ὑμᾶς ἀπέστην· νῦν δ᾽ οὗ ἐγκρατὴς ἐγενόμην τὸν λιμένα παραδέδωκα ὑμῖν. ἠκροῶντο μὲν δὴ πολλοὶ αὐτοῦ ταῦτα· ὁπόσοι δὲ ἐπείθοντο, οὐ πάνυ κατάδηλον.

4 Ἀλλὰ γὰρ ἐπείπερ ἠρξάμην, διατελέσαι βούλομαι τὰ περὶ Εὔφρονος. στασιασάντων γὰρ ἐν τῷ Σικυῶνι τῶν τε βελτίστων

Sicyon und Phlius. — *νομίσας*] ingressiv, „zur Ansicht gelangt“. — *τὰ ἐν τ. Σικυῶνι*] die Tyrannei des Euphron, vgl. 1, 46. — *εἰς τ. ἀκρόπολιν*] im Einverständnis mit den theban. Befehlshabern. — *τῶν τε ἔνδον*] korresp. mit *καὶ τοὺς ἐκπεπτωκότας*; beiden ist daher das Verb. *συγκαλεῖ* gemeinsam, *μετεπέμψατο* steht gewissermaſsen epexegetisch zum 2. Gliede statt *μεταπεμψάμενος*. — *κρατίστους*] = *βελτίστους*, vgl. 1, 42. — *ἄνευ δόγματος*] *τοῦ δήμου*, d. h. also *ὑπ᾽ Εὔφρονος*, vgl. 1, 46.

2. *φοβηθείς*] wie *νομίσας* § 1. — *λιμένα*] an der Asoposmündung, ziemlich entfernt von der landeinwärts liegenden Stadt Sicyon. — *Πασίμηλος*] bereits IV, 4, 4. 7 erwähnt. — *αὖ*] im Gegens. zu seiner früheren spartanerfeindlichen Verbindung. — *ἀνεστρέφετο*] *versari*, vgl. VI, 3, 17. — *ὅτε … ἐδίδοτο*] Nebensatz der Or. obl. — *ψῆφος*] Concretum pro Abstracto. — *ἐδίδοτο*] „veranlassen“. — *εἰ*] indirekte Frage. — *ἀφίστασθαι*] *ἀπὸ Λακεδαιμονίων*. — *ἀποψηφίσασθαι*] abweichend, d. i. „dagegen stimmen“.

3. *δῆμον*] Concretum pro Abstracto; vgl. *δ. καταλύειν*. — *καὶ νῦν*] Übergang in die Or. recta. — *προδιδόντες*] P. de conatu, woraus sich unabhängig von den einzelnen Handlungen die dauernde Gesinnung ergiebt. Ihre Verbannung hatte Euphron aus Gewinnsucht, nicht, wie er hier sophistisch vorgiebt, aus polit. Gründen bewirkt, denn er war früher Gegner von Sparta. — *ἐδυνάσθην*] *ὅλην τὴν πόλιν ἔχειν*. — *τὸν λιμένα*] wenigstens d. H. — *ἐπείθοντο*] *ἐπίστευον*.

4. *ἀλλὰ γάρ*] vgl. 2, 1. — *ἠρξάμην*] *διηγεῖσθαι*. — *τὰ περὶ Εὔφρονος*] Attraktion zum Prädikat. — *στασιασάντων*] infolge der Flucht des Euphron. — *τῶν βελτίστων*] die auf der

καὶ τοῦ δήμου, λαβὼν δ Εὔφρων Ἀθήνηθεν ξενικὸν πάλιν κατ-*
έρχεται. καὶ τοῦ μὲν ἄστεος ἐκράτει σὺν τῷ δήμῳ· Θηβαίου δὲ
ἁρμοστοῦ τὴν ἀκρόπολιν ἔχοντος, ἐπεὶ ἔγνω οὐκ ἂν δυνάμενος τῶν
Θηβαίων ἐχόντων τὴν ἀκρόπολιν τῆς πόλεως κρατεῖν, συσκευασά-
μενος χρήματα ᾤχετο, ὡς τούτοις πείσων Θηβαίους ἐκβάλλειν μὲν
τοὺς κρατίστους, παραδοῦναι δ' αὐτῷ πάλιν τὴν πόλιν. αἰσθό- 5
μενοι δὲ οἱ πρόσθεν φυγάδες τὴν ὁδὸν αὐτοῦ καὶ τὴν παρασκευὴν
ἀντεπορεύοντο εἰς τὰς Θήβας. ὡς δ' ἑώρων αὐτὸν οἰκείως τοῖς
ἄρχουσι συνόντα, φοβηθέντες, μὴ διαπράξαιτο ἃ βούλεται, παρε-
κινδύνευσάν τινες καὶ ἀποσφάττουσιν ἐν τῇ ἀκροπόλει τὸν Εὔ-
φρονα, τῶν τε ἀρχόντων καὶ τῆς βουλῆς συγκαθημένων. οἱ μέντοι
ἄρχοντες τοὺς ποιήσαντας εἰσήγαγον εἰς τὴν βουλὴν καὶ ἔλεγον
τάδε·

Ὦ ἄνδρες πολῖται, ἡμεῖς τουτουσὶ τοὺς ἀποκτείναντας Εὔ- 6
φρονα διώκομεν περὶ θανάτου, ὁρῶντες, ὅτι οἱ μὲν σώφρονες
οὐδὲν δήπου ἄδικον οὐδὲ ἀνόσιον ποιοῦσιν, οἱ δὲ πονηροὶ ποιοῦσι
μέν, λανθάνειν δὲ πειρῶνται, οὗτοι δὲ τοσοῦτον πάντας ἀνθρώπους
ὑπερβεβλήκασι τόλμῃ τε καὶ μιαρίᾳ, ὥστε παρ' αὐτὰς τὰς ἀρχὰς
καὶ παρ' αὐτοὺς ὑμᾶς τοὺς κυρίους, οὕστινας δεῖ ἀποθνήσκειν καὶ
οὕστινας μή, αὐτογνωμονήσαντες ἀπέκτειναν τὸν ἄνδρα. εἰ οὖν

Seite der Arkader standen, vgl. § 1. — *Ἀθήνηθεν*] weil mit Sparta verbündet. — *κατέρχεται*] *εἰς Σικυῶνα*. — *Θηβαίου*] vgl. 2, 11. — *ἔχοντος*] kausal, dem anderen Kausalsatze *ἐπεὶ ἔγνω* subordiniert. — *ἂν δυνάμενος*] Part. potentiale = *ὅτι ... ἂν δύναιτο*. — *τῆς πόλεως*] wie nachher *τὴν πόλιν* das ganze Staatswesen, nicht im lokalen Gegensatz zu *ἀκρόπολις* wie *ἄστυ*. — *συσκευασάμενος*] *cogere*. — *Θηβαίους*] also ein neuer Gesinnungswechsel, bereits § 3 *ἐπείθοντο* angedeutet. — *τ. κρατίστους ... πόλιν*] *τῶν Σικυωνίων*. — *ἐκβάλλειν*] wie *φεύγειν*, durativ „durch Verbannung fernhalten". — *παραδοῦναι*] ingressiv.

5. *οἱ πρόσθεν φυγάδες*] die § 1 erwähnten Anhänger der Arkader. — *ὁδόν*] *iter*. — *παρασκευήν*] prägn. sc. *ὧν ἐβούλετο*. — *ἀντεπορεύοντο*] = *καὶ αὐτοὶ ἐπορ*. — *ἄρχουσι*] d. i. Böotarchen. — *παρεκινδύνευσαν*] absolut: „alles aufs Spiel setzen", parataktisch zu *ἀποσφάττουσιν*.

6. *οἱ μὲν ... δέ ... οὗτοι*] Parataxe; im D. sind die zwei ersten Glieder dem betonteren dritten unterzuordnen. — *δήπου*] „doch sicherlich". — *ποιοῦσι μὲν ... δέ*] adversativ. — *παρ' αὐτάς*] = *ἐναντίον* mit Gen. = *coram*. — *ἀρχάς*] Abstract. pro Concreto. — *τοὺς κυρίους*] sc. *ὄντας διακρίνειν*, wovon dann der indir. Fragesatz abhängt, vgl. § 7. — *αὐτογνωμονήσαντες*] Gegens. *ἡμῶν οὐκ ἐπιτρε-*

οὗτοι μὴ δώσουσι τὴν ἐσχάτην δίκην, τίς ποτε πρὸς τὴν πόλιν θαρρῶν πορεύσεται; τί δὲ πείσεται ἡ πόλις, εἰ ἐξέσται τῷ βουλομένῳ ἀποκτεῖναι πρὶν δηλῶσαι, ὅτου ἕνεκα ἥκει ἕκαστος; ἡμεῖς μὲν δὴ τούτους διώκομεν ὡς ἀνοσιωτάτους καὶ ἀδικωτάτους καὶ ἀνομωτάτους καὶ πλεῖστον δὴ ὑπεριδόντας τῆς πόλεως· ὑμεῖς δὲ ἀκηκοότες, ὁποίας τινὸς ὑμῖν δοκοῦσιν ἄξιοι εἶναι δίκης, ταύτην αὐτοῖς ἐπίθετε.

7 Οἱ μὲν ἄρχοντες τοιαῦτα εἶπον· τῶν δὲ ἀποκτεινάντων οἱ μὲν ἄλλοι ἠρνοῦντο μὴ αὐτόχειρες γεγενῆσθαι· εἷς δὲ ὡμολογήκει καὶ τῆς ἀπολογίας ὧδέ πως ἤρχετο· Ἀλλ' ὑπερορᾶν μέν, ὦ Θηβαῖοι, οὐ δυνατὸν ὑμῶν ἀνδρί, ὃς εἰδείη κυρίους μὲν ὄντας ὅ,τι βούλεσθε αὐτῷ χρῆσθαι· τίνι μὴν πιστεύων ἀπέκτεινα τὸν ἄνδρα; εὖ ἴστε, ὅτι πρῶτον μὲν τῷ νομίζειν δίκαιον ποιεῖν, ἔπειτα δὲ τῷ ὑμᾶς ὀρθῶς γνώσεσθαι. ᾔδειν γάρ, ὅτι καὶ ὑμεῖς τοὺς περὶ Ἀρχίαν καὶ Ὑπάτην, οὓς ἐλάβετε ὅμοια Εὔφρονι πεποιηκότας, οὐ ψῆφον ἀνεμείνατε, ἀλλὰ ὁπότε πρῶτον ἐδυνάσθητε ἐτιμωρήσασθε, νομίζοντες τῶν τε περιφανῶς ἀνοσίων καὶ τῶν φανερῶς προδοτῶν καὶ τυραννεῖν ἐπιχειρούντων ὑπὸ πάντων ἀνθρώπων θάνατον κατεγνῶ-

---

ψάντων; vgl. auch τῷ βουλομένῳ. — τίς ποτε] *ecquis unquam postea.* — τὴν πόλιν] ἡμῶν. — ἀποκτεῖναι] absolut „morden". — ἕκαστος κτλ.] epexegetisch zu τῷ βουλομένῳ; „er", nämlich „jeder in seinem besonderen Falle". Die Konstruktion und der Sinn verbieten, ἕκαστος auf den Gemordeten zu beziehen, als Objekt zu ἀποκτεῖναι und als Subjekt zu δηλῶσαι zu fassen; denn nicht Euphron (οἰκείως συνὼν τοῖς ἄρχουσι), sondern der Mörder hatte in diesem Falle jene Mitteilung unterlassen.

7. οἱ μὲν ἄλλοι] proleptisch. — μὴ γεγενῆσθαι] μή im Urteilssatze wie V, 2, 1. — ὡμολογήκει] „war geständig". — δυνατόν] sc. ἦν; daher die Modusverschiebung εἰδείη. — ὑμῶν] womit zu verbinden? — κυρίους] Subj. ὑμᾶς; im übrigen vgl. § 6. — τίνι μήν] adversativ zu οὐ δυνατὸν ὑπερορᾶν. — πρῶτον μέν] sc. πιστεύων κτλ. — τῷ νομίζειν] der substantivierte Infin. steht nicht als Dat. commodi, sondern kausal resp. instrumental. — ὀρθῶς γνώσεσθαι] im Sinne von χάριν ἔχων § 9; vgl. VI, 3, 13. — τοὺς περὶ Ἀρχίαν καὶ Ὑπάτην] vgl. V, 4, 2. 7. — ὅμοια Εὔφρονι] Comparatio compendiaria, vgl. VI, 1, 5. — οὐ ψῆφον ἀνεμείνατε ἀλλά] Protasis paratactica; man erwartet subord. ἀναμείναντες; die Konstruktion läfst sich auch ohne Anakoluth erklären, wenn man den Accus. τοὺς ... Ὑπάτην zu ἀνεμείνατε als Accus. der Beziehung fafst und ihn dann als Objekt zu ἐτιμωρήσασθε ergänzt. — ὁπότε πρῶτον] *ubi primum.* — κατεγνῶσθαι]d. i. einfür allemal. Der Sinn ergiebt einen Akt der sogen. Lynchjustiz. — φανερῶς] das Adverb wegen des Verbalbegriffs προδιδόντων.

σθαι. οὐκοῦν καὶ Εὔφρων πᾶσι τούτοις ἔνοχος ἦν· παραλαβὼν 8
μὲν γὰρ τὰ ἱερὰ μεστὰ καὶ ἀργυρῶν καὶ χρυσῶν ἀναθημάτων κενὰ πάντων τούτων ἀπέδειξεν. προδότης γε μὴν τίς ἂν περιφανέστερος Εὔφρονος εἴη, ὃς φίλτατος μὲν ὢν Λακεδαιμονίοις ὑμᾶς ἀντ' ἐκείνων εἵλετο, πιστὰ δὲ δοὺς καὶ λαβὼν παρ' ὑμῶν πάλιν προὔδωκεν ὑμᾶς καὶ παρέδωκε τοῖς ἐναντίοις τὸν λιμένα; καὶ μὴν πῶς οὐκ ἀπροφασίστως τύραννος ἦν, ὃς δούλους μὲν οὐ μόνον ἐλευθέρους, ἀλλὰ καὶ πολίτας ἐποίει, ἀπεκτίννυε δὲ καὶ ἐφυγάδευε καὶ χρήματα ἀφῃρεῖτο οὐ τοὺς ἀδικοῦντας, ἀλλ' οὓς αὐτῷ ἐδόκει; οὗτοι δὲ ἦσαν οἱ βέλτιστοι. αὖθις δὲ μετὰ τῶν ἐναντιωτάτων 9
ὑμῖν Ἀθηναίων κατελθὼν εἰς τὴν πόλιν ἐναντία μὲν ἔθετο τὰ ὅπλα τῷ παρ' ὑμῶν ἁρμοστῇ· ἐπεὶ δ' ἐκεῖνον οὐκ ἐδυνάσθη ἐκ τῆς ἀκροπόλεως ἐκβαλεῖν, συσκευασάμενος χρήματα δεῦρο ἀφίκετο. καὶ εἰ μὲν ὅπλα ἠθροικὼς ἐφάνη ἐφ' ὑμᾶς, καὶ χάριν ἄν μοι εἴχετε, εἰ ἀπέκτεινα αὐτόν· ὃς δὲ χρήματα ἦλθε παρασκευασάμενος, ὡς τούτοις ὑμᾶς διαφθερῶν καὶ πείσων πάλιν κύριον αὐτὸν ποιῆσαι τῆς πόλεως, τούτῳ ἐγὼ τὴν δίκην ἐπιθεὶς πῶς ἂν δικαίως

---

8. *οὐκοῦν*] vgl. V, 4, 31. — *τούτοις*] *τοιούτοις ἁμαρτήμασι*. — *παραλαβών*] konzessiv. — *ἀπέδειξε*] übertragen im Sinne von *ἐποίησε φαίνεσθαι ... κενὰ ὄντα*; zur Sache vgl. 1, 46. — *γε μήν*] zweiter Vorwurf. — *φίλτατος ... εἵλετο*] zur Sache vgl. 1, 44. — *παρέδωκε*] vgl. § 2; den beiden kausalen Relativsätzen ist je ein konzessives Partizip untergeordnet. — *καὶ μήν*] Übergang zum stärksten Vorwurfe „und endlich"; der Schilderung der Willkür dient das Imperf. wie vorher der Erzählung des Verrats der Aorist. — *ἀπροφασίστως*] subjektiv, „ohne Hehl von seiner Seite", dagegen 1, 46 *σαφῶς* objektiv vom Standpunkt der andern. — *οἱ βέλτιστοι*] vgl. § 4; zu deren Partei die Mörder *οἱ πρόσθεν φυγάδες* (§ 5) gehören; der Zusatz soll den Gesinnungswechsel und die Willkür betonen, welche erst die anfänglich befreundeten Aristokraten verrät und schädigt, dann aber gleich wieder (*αὖθις δέ*) gegen die Harmosten einer demokratischen Regierung wie der thebanischen sich richtet, also Freunde wie Feinde, Gute wie Böse nicht schont.

9. *αὖθις δέ*] verb. mit dem Verb. finit. führt nur die letzten Vorwürfe weiter aus; zur Sache vgl. § 4. — *ὅπλα*] metonym. für *ὁπλίτας*; anders 2, 6. — *καὶ χάριν*] Gegens. *οὐ μόνον οὐκ ἂν ἐδίωκετε ἐμέ*. — *εἰ ἀπέκτεινα*] = *ὅτι ἀ.* bei Verb. affect. — *ὃς δέ*] kausaler Relativsatz, zugleich entsprechend dem determinativen *τούτῳ*; der Gegensatz ist in dem vorhergehenden irrealen Kondizionalsatz enthalten. — *πάλιν*] wie vor der Vertreibung durch Äneas § 1. — *ἐπιθείς*] korrespondierend mit dem realen *εἰ ἀπέκτεινα*; *δικ. ἐπιτιθέναι τινί* = *δ. λαμβάνειν παρά τινος*, wozu *δικ. διδόναι* vgl. § 6 das

ὑφ᾿ ὑμῶν ἀποθάνοιμι; καὶ γὰρ οἱ μὲν ὅπλοις βιασθέντες βλά-
πτονται μέν, οὐ μέντοι ἄδικοί γε ἀναφαίνονται· οἱ δὲ χρήμασι
παρὰ τὸ βέλτιστον διαφθαρέντες ἅμα μὲν βλάπτονται, ἅμα δὲ
10 αἰσχύνῃ περιπίπτουσιν. εἰ μὲν τοίνυν ἐμοὶ μὲν πολέμιος ἦν, ὑμῖν
δὲ φίλος, κἀγὼ ὁμολογῶ μὴ καλῶς ἄν μοι ἔχειν παρ᾿ ὑμῖν τοῦτον
ἀποκτεῖναι· ὁ δὲ ὑμᾶς προδιδοὺς τί ἐμοὶ πολεμιώτερος ἦν ἢ
ὑμῖν; ἀλλὰ νὴ Δία, εἴποι ἄν τις, ἑκὼν ἦλθεν. κᾆτα εἰ μὲν ἀπε-
χόμενον τῆς ὑμετέρας πόλεως ἀπέκτεινέ τις αὐτόν, ἐπαίνου ἂν
ἐτύγχανε· νῦν δὲ ὅτε πάλιν ἦλθεν ἄλλα πρὸς τοῖς πρόσθεν κακὰ
ποιήσων, οὐ δικαίως φήσει τις αὐτὸν τεθνάναι; ποῦ ἔχων Ἕλλησι
σπονδὰς ἀποδεῖξαι ἢ προδόταις ἢ παλιναυτομόλοις ἢ τυράννοις;
11 πρὸς δὲ τούτοις ἀναμνήσθητε, ὅτι καὶ ἐψηφίσασθε δήπου τοὺς
φυγάδας ἀγωγίμους εἶναι ἐκ πάντων τῶν συμμάχων. ὅστις δὲ
ἄνευ κοινοῦ τῶν συμμάχων δόγματος κατέρχεται φυγάς, τοῦτον
ἔχοι τις ἂν εἰπεῖν ὅπως οὐ δίκαιόν ἐστιν ἀποθνήσκειν; ἐγώ φημι,
ὦ ἄνδρες, ἀποκτείναντας μὲν ὑμᾶς ἐμὲ τετιμωρηκότας ἔσεσθαι
ἀνδρὶ τῷ πάντων ὑμῖν πολεμιωτάτῳ, γνόντας δὲ δίκαια πεποιη-

Passiv bildet. — πῶς] rhetor. vgl. V, 2, 15. — ἂν ἀποθάνοιμι] der Potentialis korrespondierend mit dem Irrealis ἂν εἴχετε. — βιασθέντες] „vergewaltigen". — παρὰ τὸ βέλτιστον] „wider bestes Wissen und Gewissen".

10. μή] wie § 7. — ἂν ἔχειν] ob potential oder irreal, ergiebt sich aus dem Vordersatz. — τί] „inwiefern". — ἀλλὰ νὴ Δία] zur Einführung der Hypophora d. i. des fingierten Einwurfs. — ἑκὼν ἦλθεν] Sinn: „Zugegeben, dafs er unser ἐναντίος war, ist er doch nicht wider seinen Willen in unsere Hände gefallen, sondern hat sich freiwillig (θαρρῶν § 6) gestellt, hatte also Anspruch auf richterliches Gehör (κυρίους οὕστινας κτλ. § 6); dies habt ihr ihm unmöglich gemacht." Diesen Einwurf will der Mörder widerlegen. — κᾆτα] ironisch folgernd „also dann". — ἀπεχόμενον] Gegens. ἦλθε. — πάλιν] wie schon früher, vgl. § 8, wodurch das ἦλθε in einem anderen und schlimmeren Lichte erscheint. — τεθνάναι] beachte das Tempus. — φήσει] = εἴποι ἄν. — ποῦ] rhetor. = οὐδαμοῦ, vgl. πῶς § 9. — ἔχων] = δυνάμενος verb. mit ἀποδεῖξαι sc. φήσει τις. — Ἕλλησι] Dat. relationis „für" d. i. „bei H.". — σπονδάς] οὔσας.

11. δήπου] ὡς εἰκός. — ἀγωγίμους] „verhaftbar" d. i. „zur Auslieferung geeignet". Die Verbaladjektiva auf τος oder ιμος bezeichnen die Möglichkeit, nicht die Notwendigkeit. — κατέρχεται] εἴτε εἰς τὴν πατρίδα εἴτε εἰς συμμαχίδα πόλιν. — τοῦτον] Subjekt zu ἀποθνήσκειν. — ὅπως] nach negierten Verb. dicendi = ὅτι, eigentlich indir. Frage „inwiefern". — δίκαιόν ἐστι] die unpersönliche Konstr., wo der Inf., die persönliche, wo das Subjekt als Gegens. betont wird; hier = ἔξεστιν ἀποθν.; vgl. § 10 καλῶς ... ἔχειν. — ἐμέ] womit zu verbinden? — τετιμωρη-

κέναι αὐτοὺς τετιμωρηκότας φανεῖσθαι ὑπέρ τε ὑμῶν αὐτῶν καὶ ὑπὲρ τῶν συμμάχων ἁπάντων.

Οἱ μὲν οὖν Θηβαῖοι ταῦτα ἀκούσαντες ἔγνωσαν δίκαια τὸν 12
Εὔφρονα πεπονθέναι· οἱ μέντοι πολῖται αὐτοῦ ὡς ἄνδρα ἀγαθὸν κομισάμενοι ἔθαψάν τε ἐν τῇ ἀγορᾷ καὶ ὡς ἀρχηγέτην τῆς πόλεως σέβονται. οὕτως, ὡς ἔοικεν, οἱ πλεῖστοι ὁρίζονται τοὺς εὐεργέτας ἑαυτῶν ἄνδρας ἀγαθοὺς εἶναι.

Καὶ τὰ μὲν περὶ Εὔφρονος εἴρηται· ἐγὼ δὲ ἔνθεν εἰς ταῦτα 4
ἐξέβην ἐπάνειμι. ἔτι γὰρ τειχιζόντων τῶν Φλιασίων τὴν Θυαμίαν καὶ τοῦ Χάρητος ἔτι παρόντος Ὠρωπὸς ὑπὸ τῶν φευγόντων κατελήφθη. στρατευσαμένων δὲ πάντων Ἀθηναίων ἐπ' αὐτὸν καὶ τὸν Χάρητα μεταπεμψαμένων ἐκ τῆς Θυαμίας, ὁ μὲν λιμὴν αὖ ὁ τῶν

κότας] τιμωρεῖν τινι, = τιμωρεῖσθαι ὑπέρ τινος. — πεποιηκέναι] Subj. ἐμέ; der Infin. wie V, 4, 23. — αὐτούς] ὑμᾶς.

12. Θηβαῖοι ... ἔγνωσαν] d. h. ἡ βουλή gegen den Antrag der ἄρχοντες vgl. § 5—6. — πολῖται αὐτοῦ] ὁ δῆμος τῶν Σικυωνίων. — κομισάμενοι] ἐκ Θηβῶν οἴκαδε. — ἀρχηγέτην] eigentl. Stammvater, dann übertragen „Schutzgott". — οἱ πλεῖστοι] τὸ πλῆθος. — ὁρίζονται] *definire*.

Kap. 4. **§ 1: Verlust von Oropos (366 v. Chr.) — § 2/3: Bündnis der Arkader mit Athen. Tod des Lykomedes (366). — § 4/6: Entzweiung zwischen Athen und Korinth (366). — § 7/11: Friedensvertrag der Korinthier mit den Thebanern (366). — § 12/13: Dritte Hilfesendung des Dionysios (366). Beginn des Streites zwischen den Eleern und Arkadern. Kampf um Lasion (365). — § 14/18: Wiederholter Einfall der Arkader in Elis. Parteispaltung daselbst. Die Arkader in Pellene (365). — § 19/25: Einnahme von Kromnos durch Archidamos. Einschliefsung der Stadt durch die Arkader. Sieg derselben über die Lacedämonier (364). — § 26/27: Einnahme von Pylos durch die Eleer. Wiedereroberung von Kromnos durch die Arkader (364). — § 28/32: Kampf in Olympia. Feier der Spiele durch die Arkader und Pisaten (364). — § 33/35: Entzweiung der Arkader (363). — § 36/40: Konflikt in Tegea. Zurechtweisung der Mantineer durch Epaminondas (363).**

1. Τὰ περὶ Εὔφρ.] Attraktion zum Prädikat, vgl. 3, 4. — ἔνθεν ... ἐξέβην] die Digression begann 3, 4. — τειχιζόντων] vgl. 2, 23. — Χάρητος] vgl. 2, 18. — παρόντος] παρὰ τοῖς Φλιασίοις. — Ὠρωπός] St. an der Grenze zwischen Attika u. Böotien am Euripos; nach anderen Quellen 411 v. Chr. von den Thebanern erobert, 387 wieder an Athen abgetreten, in den Hellenika hier zuerst erwähnt. — φευγόντων] offenbar die 387 verbannten Freunde Thebens, welche die Stadt mit Hilfe der Tyrannen von Eretria besetzten. — αὐτόν] τὸν Ὠρωπόν. — ὁ μὲν λιμήν] dessen Übergabe an Sparta vgl. 3, 2. — αὖ] verschieden von πάλιν, welches lediglich zu ἁλίσκεται gehört, bezeich-

Σικυωνίων πάλιν ὑπ' αὐτῶν τε τῶν πολιτῶν καὶ τῶν Ἀρκάδων ἁλίσκεται· τοῖς δ' Ἀθηναίοις οὐδεὶς τῶν συμμάχων ἐβοήθησεν, ἀλλ' ἀνεχώρησαν Θηβαίοις παρακαταθέμενοι τὸν Ὠρωπὸν μέχρι δίκης.

2 *Καταμαθὼν δὲ ὁ Λυκομήδης μεμφομένους τοὺς Ἀθηναίους τοῖς συμμάχοις, ὅτι αὐτοὶ μὲν πολλὰ πράγματα εἶχον δι' ἐκείνους, ἀντεβοήθησε δ' αὐτοῖς οὐδείς, πείθει τοὺς μυρίους πράττειν περὶ συμμαχίας πρὸς αὐτούς. τὸ μὲν οὖν πρῶτον ἐδυσχέραινόν τινες τῶν Ἀθηναίων τὸ Λακεδαιμονίοις ὄντας φίλους γενέσθαι τοῖς ἐναντίοις αὐτῶν συμμάχους· ἐπειδὴ δὲ λογιζόμενοι εὕρισκον οὐδὲν μεῖον Λακεδαιμονίοις ἢ σφίσιν ἀγαθὸν τὸ Ἀρκάδας μὴ προσδεῖσθαι Θηβαίων, οὕτω δὴ προσεδέχοντο τὴν τῶν Ἀρκάδων συμμα-*
3 *χίαν. καὶ Λυκομήδης ταῦτα πράττων ἀπιὼν Ἀθήνηθεν δαιμονιώτατα ἀποθνήσκει. ὄντων γὰρ παμπόλλων πλοίων, ἐκλεξάμενος τούτων ὃ ἐβούλετο καὶ συνθέμενος τοίνυν ἀποβιβάσαι ὅποι αὐτὸς κελεύοι, εἵλετο ἐνταῦθα ἐκβῆναι ἔνθα οἱ φυγάδες ἐτύγχανον ὄντες. κἀκεῖνος μὲν οὕτως ἀποθνήσκει, ἡ μέντοι συμμαχία ὄντως ἐπεραίνετο.*

4 *Εἰπόντος δὲ Δημοτίωνος ἐν τῷ δήμῳ τῶν Ἀθηναίων, ὡς ἡ μὲν πρὸς τοὺς Ἀρκάδας φιλία καλῶς αὐτῷ δοκοίη πράττεσθαι, τοῖς μέντοι στρατηγοῖς προστάξαι φαίη χρῆναι, ὅπως καὶ Κόριν-*

---

net den neuen Verlust für die verbündeten Spartaner und Athener, worin zugleich der Kausalnexus zwischen dem Partizipial- und dem Nachsatz liegt. Vgl. zu V, 1, 5. — *ἀνεχώρησαν*] phraseolog. Verb. Subjektswechsel *οἱ Ἀθηναῖοι.* — *παρακαταθέμενοι*] *παρὰ δόξαν*, im D. „einstweilen". — *δίκη*] „schiedsrichterliche Entscheidung".

2. *Λυκομήδης*] *Μαντινεύς*, Machthaber der Arkader vgl. 1, 23. — *συμμάχοις*] insbes. Sparta und Phlius. — *τ. μυρίους*] vgl. 1, 38. — *ἐδυσχέραινον*] *δυσχερῶς ἔφερον.* — *τὸ ... γενέσθαι*] die Möglichkeit z. w.; Subjekt *τοὺς Ἀθηναίους.* — *ὄντας*] konzessiv. — *ἀγαθόν*] *ὂν* ***utile***, Prädikat zu *τὸ προσδεῖσθαι* d. i. *προσέτι δεῖσθαι.* — *προσεδέχοντο*] phraseolog. „verstanden sich allmählich dazu" u. s. w.

3. *πράττων*] durativ, weil die Rückreise noch dazu gehörte; „bei". — *δαιμονιώτατα*] Elativ, ***vere divinitus***, vgl. VI, 4, 3. — *συνθέμενος*] *τῷ ναύτῃ* „ausbedingen". — *καὶ ... τοίνυν*] „und demgemäfs". — *ἀποβιβάσαι*] Causativum zu *ἐκβῆναι.* — *οἱ φυγάδες*] *τῶν Ἀρκάδων*, also seine thebanisch gesinnten Gegner. — *ἐτύγχανον*] also *ἀπροσδόκητοι.* — *οὕτως*] brachylog. = ***ita accidit ut.*** — *ἀποθνήσκει*] *ὑπὸ τῶν φυγάδων.*

4. *μὲν ... μέντοι*] stark adversativ. — *δοκοίη ... φαίη*] in der Or. recta würde stehen *δοκεῖ ... φημί.* — *προστάξαι*] prägnant = *προστάξαντες*

θος σῴα ἢ τῷ δήμῳ τῶν Ἀθηναίων· ἀκούσαντες δὲ ταῦτα οἱ Κορίνθιοι, ταχὺ πέμψαντες ἱκανοὺς φρουροὺς ἑαυτῶν πάντοσε, ὅπου Ἀθηναῖοι ἐφρούρουν, εἶπον αὐτοῖς ἀπιέναι, ὡς οὐδὲν ἔτι δεόμενοι φρουρῶν. οἱ δ᾽ ἐπείθοντο. ὡς δὲ συνῆλθον οἱ ἐκ τῶν φρουρίων Ἀθηναῖοι εἰς τὴν πόλιν, ἐκήρυξαν οἱ Κορίνθιοι, εἴ τις ἀδικοῖτο Ἀθηναίων, ἀπογράφεσθαι, ὡς ληψομένους τὰ δίκαια.
οὕτω δὲ τούτων ἐχόντων Χάρης ἀφικνεῖται μετὰ ναυτικοῦ πρὸς 5
Κεγχρειάς. ἐπεὶ δὲ ἔγνω τὰ πεπραγμένα, ἔλεξεν, ὅτι ἀκούσας ἐπιβουλεύεσθαι τῇ πόλει βοηθῶν παρείη. οἱ δ᾽ ἐπαινέσαντες αὐτὸν οὐδὲν ἔτι μᾶλλον ἐδέχοντο τὰς ναῦς εἰς τὸν λιμένα, ἀλλ᾽ ἀποπλεῖν ἐκέλευον· καὶ τοὺς ὁπλίτας δὲ τὰ δίκαια ποιήσαντες ἀπέπεμψαν. ἐκ μὲν οὖν τῆς Κορίνθου οἱ Ἀθηναῖοι οὕτως ἀπηλλάγησαν.
τοῖς μέντοι Ἀρκάσι πέμπειν ἠναγκάζοντο τοὺς ἱππέας 6
ἐπικούρους διὰ τὴν συμμαχίαν, εἴ τις στρατεύοιτο ἐπὶ τὴν Ἀρκαδίαν· τῆς δὲ Λακωνικῆς οὐκ ἐπέβαινον ἐπὶ πολέμῳ.

Τοῖς δὲ Κορινθίοις ἐνθυμουμένοις, ὡς χαλεπῶς ἔχοι αὐτοὺς σωθῆναι, κρατουμένους μὲν καὶ πρόσθεν κατὰ γῆν, προσγεγενημένων δὲ αὐτοῖς Ἀθηναίων ἀνεπιτηδείων, ἔδοξεν ἀθροίζειν καὶ πεζοὺς καὶ ἱππέας μισθοφόρους. ἡγούμενοι δὲ τούτων ἅμα μὲν τὴν πόλιν ἐφύλαττον, ἅμα δὲ πολλὰ τοὺς πλησίον πολεμίους κακῶς ἐποίουν· εἰς μέντοι Θήβας ἔπεμψαν ἐπερησομένους, εἰ τύχοιεν ἂν

ἐπιμελεῖσθαι ὅπως: „Weisungen dahin erteilen daſs". — *σῴα ἢ*] *in fide manere (certa)*. — *ἀκούσαντες δέ*] hier beginnt der Nachsatz, wobei *δέ* den Vordersatz epanaleptisch nochmals zusammenfaſst wie IV, 8, 9; V, 1, 28; VI, 1, 13. — *ἱκανούς*] *ὥστε τῶν Ἀθηναίων μὴ δεῖσθαι*. — *πόλιν*] *Κόρινθον*. — *ἀπογράφεσθαι*] Begehrungssatz „sich schriftlich melden", Subj. *αὐτούς* im Sinne des kollektiven *εἴ τις*. — *τὰ δίκαια*] ihre Rechtsansprüche.

5. *Κεγχρειάς*] vgl. VI, 5, 51. — *ἐπιβουλεύεσθαι*] Subj. *τὴν πόλιν*; der Infin. wie V, 1, 25. — *βοηθῶν*] P. de conatu. — *ἐπαινέσαντες*] konzessiv. — *οὐδὲν ἔτι μᾶλλον*] „dessenungeachtet nicht mehr", eigentl. „um nichts mehr fernerhin"; *ἔτι* mit Bezug auf § 4 *εἶπον αὐτοῖς ἀπιέναι ὡς οὐδὲν ἔτι δεόμενοι*. — *τὰ δίκαια*] vgl. § 4. — *ποιήσαντες*] „befriedigen".

6. *διὰ τὴν συμμαχίαν*] verb. mit *ἠναγκάζοντο*. — *εἰ ... στρατεύοιτο*] Or. obl. aus dem Sinne der *σύμμαχοι*; der Zusatz kennzeichnet den Defensivbund. — *ἐπὶ πολέμῳ*] *belli inferendi causa*. — *αὐτούς*] sc. *καθ᾽ ἑαυτούς*. — *σωθῆναι*] Begehrungssatz also ohne absolute Zeitbedeutung; dem Infin. sind zwei Partizipialsätze kausal subordiniert. — *κρατουμένους*] zur Sache vgl. VI, 5, 37. — *προσγεγενημένων*] = *προσέτι γεγεν*. — *ἀνεπιτηδείων*] *ὅτι ἀπηλλάγησαν*. — *ἐπερησομένους*] *πρέσβεις (τινάς)*. — *εἰ τύχοιεν ἂν*] indir.

7 ἐλθόντες εἰρήνης. ἐπεὶ δὲ οἱ Θηβαῖοι ἰέναι ἐκέλευον, ὡς ἐσομένης, ἐδεήθησαν οἱ Κορίνθιοι ἐᾶσαι σφᾶς ἐλθεῖν καὶ ἐπὶ τοὺς συμμάχους, ὡς μετὰ μὲν τῶν βουλομένων ποιησόμενοι τὴν εἰρήνην, τοὺς δὲ πόλεμον αἱρουμένους ἐάσοντες πολεμεῖν. ἐφέντων δὲ καὶ ταῦτα πράττειν τῶν Θηβαίων, ἐλθόντες εἰς Λακεδαίμονα οἱ Κορίνθιοι
8 εἶπον· Ἡμεῖς, ὦ ἄνδρες Λακεδαιμόνιοι, πρὸς ὑμᾶς πάρεσμεν ὑμέτεροι φίλοι καὶ ἀξιοῦμεν, εἰ μέν τινα ὁρᾶτε σωτηρίαν ἡμῖν, ἐὰν διακαρτερῶμεν πολεμοῦντες, διδάξαι καὶ ἡμᾶς· εἰ δὲ ἀπόρως γιγνώσκετε ἔχοντα τὰ ἡμέτερα, εἰ μὲν καὶ ὑμῖν συμφέρει, ποιήσασθαι μεθ' ἡμῶν τὴν εἰρήνην· ὡς οὐδὲν μετ' οὐδένων ἂν ἥδιον ἢ μεθ' ὑμῶν σωθείημεν· εἰ μέντοι ὑμεῖς λογίζεσθε συμφέρειν ὑμῖν πολεμεῖν, δεόμεθα ὑμῶν ἐᾶσαι ἡμᾶς εἰρήνην ποιήσασθαι. σωθέντες μὲν γὰρ ἴσως ἂν αὖθις ἔτι ποτὲ ἐν καιρῷ ὑμῖν γενοίμεθα· ἐὰν δὲ νῦν ἀπολώμεθα, δῆλον ὅτι οὐδέποτε χρήσιμοι ἔτι ἐσόμεθα.
9 ἀκούσαντες δὲ ταῦτα οἱ Λακεδαιμόνιοι τοῖς τε Κορινθίοις συνεβούλευον τὴν εἰρήνην ποιήσασθαι καὶ τῶν ἄλλων συμμάχων ἐπέτρεψαν τοῖς μὴ βουλομένοις σὺν ἑαυτοῖς πολεμεῖν ἀναπαύεσθαι· αὐτοὶ δ' ἔφασαν πολεμοῦντες πράξειν ὅ,τι ἂν τῷ θεῷ φίλον ᾖ· ὑφήσεσθαι δὲ οὐδέποτε, ἣν παρὰ τῶν πατέρων παρέλαβον

Fragesatz, zugleich den hypoth. Nachsatz zu *ἐλθόντες* bildend; vgl. zu V, 2, 23.

7. *ἰέναι*] *προσιέναι*. — *ἐσομένης*] *εἰρήνης*. — *μετὰ τ.*] „gemeinschaftlich mit“.

8. *ὑμέτερος*] Prädikat. — *πάρεσμεν πρός*] = *παραγεγενήμεθα πρός*. — *ἀξιοῦμεν*] hier V. cupiendi „für wünschenswert erachten“. — *σωτηρίαν*] sc. *ἂν οὖσαν ἐὰν διακ.* — *διδάξαι*] *ὡς σωτηρία ἐστίν*. — *εἰ δὲ ... γιγνώσκετε ... εἰ μὲν ... εἰ μέντοι*] *εἰ δέ γ.* ist der ersten Alternative *εἰ μὲν ὁρᾶτε* koordiniert, zerfällt selbst aber wieder in zwei spezielle Alternativen *εἰ μὲν ... συμφέρει* sc. *εἰρήνην ποιήσασθαι* und *εἰ μέντοι λογίζεσθε συμφέρειν* = *συμφέρει πολεμεῖν*, wobei *λογίζεσθε* epanaleptisch zu *γιγνώσκετε* steht, zur Konstr. vgl. VI, 1, 14; VII, 1, 44. — *ὡς ... σωθείημεν*] dem vorigen Satze kausal untergeordnet, wird durch die parenthet. Stellung gleichsam Hauptsatz = *nam*; vgl. *qui, quamquam, ἐπεί* nach gröfseren Interpunktionen. — *οὐδέν*] verb. mit *ἥδιον*; vgl. § 2. 5. — *δεόμεθα*] epanalept. für *ἀξιοῦμεν*. — *ἐν καιρῷ*] = *χρήσιμοι*.

9. *πολεμεῖν ... ἀναπαύεσθαι*] verschiedene Rektion. — *ἀναπαύεσθαι*] erg. *πολεμοῦντας*. — *αὐτοί*] prädikat. zu *πράξειν*; Attraktion bei Infin. — *πράξειν*] intransitiv zu übersetzen, da (*τοῦτο*) *ὅ,τι* Accus. zu „über sich ergehen lassen“ = (*οὕτως*) *ὡς* ist; vgl. V, 3, 9 *ταῦτα πράττων*; vgl. *καλῶς πράττειν* sc. *τὸ πρᾶγμα*; im D. „mach's gut“, „was machst du“. — *φίλον ᾖ*] *placere*. — *ὑφήσεσθαι*] „sich darein

Μεσσήνην, ταύτης στερηθῆναι. οἱοῦν Κορίνθιοι ἀκούσαντες ταῦτα 10
ἐπορεύοντο εἰς τὰς Θήβας ἐπὶ τὴν εἰρήνην. οἱ μέντοι Θηβαῖοι ἠξίουν αὐτοὺς καὶ συμμαχίαν ὀμνύναι· οἱ δὲ ἀπεκρίναντο, ὅτι ἡ μὲν συμμαχία οὐκ εἰρήνη, ἀλλὰ πολέμου μεταλλαγὴ εἴη· εἰ δὲ βούλοιντο, παρεῖναι ἔφασαν τὴν δικαίαν εἰρήνην ποιησόμενοι. ἀγασθέντες δὲ αὐτοὺς οἱ Θηβαῖοι, ὅτι καίπερ ἐν κινδύνῳ ὄντες οὐκ ἤθελον τοῖς εὐεργέταις εἰς πόλεμον καθίστασθαι, συνεχώρησαν αὐτοῖς καὶ Φλιασίοις καὶ τοῖς ἐλθοῦσι μετ' αὐτῶν εἰς Θήβας τὴν εἰρήνην ἐφ' ᾧτε ἔχειν τὴν ἑαυτῶν ἑκάστους. καὶ ἐπὶ τούτοις ὠμόθησαν οἱ ὅρκοι. οἱ μὲν δὴ Φλιάσιοι, ἐπεὶ οὕτως ἡ σύμβασις 11
ἐγένετο, εὐθὺς ἀπῆλθον ἐκ τῆς Θυαμίας· οἱ δὲ Ἀργεῖοι ὀμόσαντες ἐπὶ τοῖς αὐτοῖς τούτοις εἰρήνην ποιήσασθαι, ἐπεὶ οὐκ ἐδύναντο καταπρᾶξαι ὥστε τοὺς τῶν Φλιασίων φυγάδας μένειν ἐν τῷ Τρικαράνῳ ὡς ἐν τῇ ἑαυτῶν πόλει ἔχοντας, παραλαβόντες ἐφρούρουν φάσκοντες σφετέραν τὴν γῆν ταύτην εἶναι, ἣν ὀλίγῳ πρότερον ὡς πολεμίαν οὖσαν ἐδῄουν. καὶ δίκας τῶν Φλιασίων προκαλουμένων οὐκ ἐδίδοσαν.

Σχεδὸν δὲ περὶ τοῦτον τὸν χρόνον τετελευτηκότος ἤδη τοῦ 12
πρόσθεν Διονυσίου ὁ υἱὸς αὐτοῦ πέμπει βοήθειαν τοῖς Λακεδαιμονίοις δώδεκα τριήρεις καὶ ἄρχοντα αὐτῶν Τιμοκράτην. οὗτος

---

ergeben". — *Μεσσήνην*] Umstellung zum Relativ; zur Sache vgl. Thebens Forderung 1, 27.

10. *ἐπὶ τ. εἰρ.*] final. — *καὶ συμμαχίαν*] *οὐ μόνον εἰρήνην*. — *ὀμνύναι*] prägn. „beschwören", vgl. 1, 39. — *παρεῖναι*] konstruiert wie § 8. — *τὴν δικαίαν*] ohne die unbillige Bedingung. — *ἐν κινδύνῳ*] vonseiten Thebens wegen ihrer Weigerung. — *τοῖς εὐεργέταις*] Sparta. — *ἐφ' ᾧτε ἔχειν ... ἑκάστους*] wiederum die Bedingung des Antalcid. Friedens, vgl. V, 1, 31. — *τοῖς ἐλθοῦσι*] *Ἀργείοις*, vgl. § 11.

11. *Θυαμίας*] vgl. § 1. — *ὀμόσαντες*] konzessiv wie der abschliefsende Relativsatz *ἣν ἐδῄουν*. — *ποιήσασθαι*] der Infin. des Begehrungssatzes drückt besser als *ποιήσεσθαι* die in *ὀμόσαντες* liegende Verpflichtung aus; so auch oft bei *ἐλπίζω, ὑπισχνεῖσθαι* u. a. — *Τρικαράνῳ*] vgl. 2, 1. — *ὡς ἐν τ. π. ἔχοντας*] nähere Ausführung zu *μένειν*. *ἔχειν* nimmt nicht blofs bei Adverbien der Art und Weise, sondern auch bei Adv. des Orts intransitive Bedeutung an = *οἰκεῖν*. — *ἑαυτῶν*] d. i. *τῶν φυγάδων*, direktes Reflexiv; nachher in der sophistisch verdrehten Angabe steht dafür das indirekte Reflexiv *σφετέραν*, d. i. *τῶν Ἀργείων*. — *παραλαβόντες*] *τὸ Τρικάρανον παρὰ τῶν φυγάδων*. — *προκαλουμένων*] sc. *αὐτοὺς δίκας δοῦναι* = *δικάζεσθαι*, konzessiv.

12. *τετελευτηκότος*] 367 v. Chr. — *βοήθειαν*] die dritte; über die beiden früheren vgl. 1, 20—26 u. 28—32. —

δ᾽ οὖν ἀφικόμενος συνεξαιρεῖ αὐτοῖς Σελλασίαν· καὶ τοῦτο πράξας ἀπέπλευσεν οἴκαδε.

Μετὰ δὲ τοῦτο οὐ πολλῷ ὕστερον καταλαμβάνουσιν* οἱ Ἠλεῖοι Λασιῶνα, τὸ μὲν παλαιὸν ἑαυτῶν ὄντα, ἐν δὲ τῷ παρόντι
13 συντελοῦντα εἰς τὸ Ἀρκαδικόν. οἱ μέντοι Ἀρκάδες οὐ παρωλιγώρησαν, ἀλλ᾽ εὐθὺς παραγγείλαντες ἐβοήθουν. ἀντεβοήθησαν δὲ καὶ τῶν Ἠλείων οἱ τριακόσιοι καὶ ἔτι τετρακόσιοι. ἀντεστρατοπεδευμένων δὲ τὴν ἡμέραν ἐν ἐπιπεδεστέρῳ χωρίῳ τῶν Ἠλείων τῆς νυκτὸς οἱ Ἀρκάδες ἀναβαίνουσιν ἐπὶ. τὴν τοῦ ὑπὲρ τῶν Ἠλείων ὄρους κορυφήν· ἅμα δὲ τῇ ἡμέρᾳ κατέβαινον ἐπὶ τοὺς Ἠλείους. οἱ δὲ ἰδόντες ἅμα μὲν ἐξ ὑπερδεξίου προσιόντας, ἅμα δὲ πολλαπλασίους, ἐκ πολλοῦ μὲν ἀπελθεῖν ᾐσχύνθησαν, ὁμόσε δ᾽ ἦλθον καὶ εἰς χεῖρας δεξάμενοι ἔφυγον· καὶ πολλοὺς μὲν ἄνδρας, πολλὰ δὲ ὅπλα ἀπώλεσαν, κατὰ δυσχωρίας ἀποχωροῦντες.

14 Οἱ δὲ Ἀρκάδες διαπραξάμενοι ταῦτα ἐπορεύοντο ἐπὶ τὰς τῶν Ἀκρωρείων πόλεις. λαβόντες δὲ ταύτας πλὴν Θραύστου ἀφικνοῦνται εἰς Ὀλυμπίαν καὶ περισταυρώσαντες τὸ Κρόνιον ἐν-

---

αὐτοῖς] = *σὺν αὐτοῖς*. — *Σελλασίαν*] vgl. VI, 5, 27. — *Λασιών*] St. in Elis, speziell in Triphylien an den Grenzpässen nach Arkadien. — *τὸ παλαιόν*] bis zum J. 400 v. Chr. — *συντελοῦντα*] *σὺν τοῖς ἄλλοις Τριφυλίοις*; steuerpflichtig, also „politisch zugehörig“.

13. *παρωλιγώρησαν*] *τούτου τοῦ πράγματος*. — *παραγγείλαντες*] *στρατείαν* vgl. 1, 18 = *φρουρὰν φαίνειν*. — *οἱ τριακόσιοι*] eine Kerntruppe der Eleer vgl. *οἱ ἐπίλεκτοι*, vgl. V, 8, 23; VII, 2, 10. — *ἐπιπεδεστέρῳ*] Kompar. von *ἐπίπεδον*, „etwas ebener“ als die übrige Gegend, immerhin aber noch gebirgig, vgl. *κατὰ δυσχωρίας*. — *ἐξ ὑπερδεξίου*] „von einer Anhöhe zur rechten“, d. i. gefährlich für die von den Schilden ungedeckte Seite. — *πολλαπλασίους*] *προσιόντας*. — *ἐκ πολλοῦ*] räumlich. — *ᾐσχύνθησαν*] m. Infin. „s. sch. vor einer Handlung“ = ablehnen, ist Verb. cupiendi; mit Part. „s. sch. über etwas“, V. sentiendi. — *ὁμόσε δ᾽ ἦλθον*] *δέ* korresp. adversativ mit *ἐκ πολλοῦ μέν κτλ.*, gehört aber logisch nur zu *ἔφυγον* als Gegensatz zu *ᾐσχύνθησαν*, so daſs *ὁμόσε ἦλθον* als Protasis paratactica dem *ἔφυγον* konzessiv subordiniert ist = *ὁμόσε δ᾽ ἐλθόντες ... ἔφυγον* „muſsten aber doch endlich ... fliehen; vgl. zu 3, 7; das vorausgehende und das nachfolgende *μέν ... δέ* ist dagegen lediglich kopulativ. — *εἰς χεῖρας δεξάμενοι*] *cominus pugnare*, vgl. II, 4, 34; ähnlich *δεξαμ. εἰς δόρυ* 1, 31. — *κατὰ δυσχωρίας*] Der Gen. zeigt, daſs sie auch aus dem *ἐπιπεδέστερον* noch bergabwärts zu gehen hatten.

14. *Ἀκρώρειοι*] Bergvolk im O. des hohlen Elis, im W. des Erymanthosgebirges. — *Θραῦστος*] Stadt daselbst. — *Ὀλυμπία*] der durch die Festspiele berühmte Ort am Alpheios in Elis, vgl. III, 2, 26. — *Κρόνιον*]

ταῦθα ἐφρούρουν καὶ ἐκράτουν τοῦ Ὀλυμπιακοῦ ὄρους· ἔλαβον δὲ καὶ Μαργανέας ἐνδόντων τινῶν. οὕτω δὲ προκεχωρηκότων οἱ μὲν Ἠλεῖοι αὖ παντάπασιν ἠθύμησαν, οἱ δὲ Ἀρκάδες ἔρχονται ἐπὶ τὴν πόλιν. καὶ μέχρι μὲν τῆς ἀγορᾶς ἦλθον· ἐκεῖ μέντοι ὑποστάντες οἵ τε ἱππεῖς καὶ οἱ ἄλλοι αὐτῶν ἐκβάλλουσί τε αὐτοὺς καὶ ἀπέκτεινάν τινας καὶ τρόπαιον ἐστήσαντο. ἦν μὲν οὖν καὶ 15
πρότερον διαφορὰ ἐν τῇ Ἤλιδι. οἱ μὲν γὰρ περὶ Χάροπόν τε καὶ Θρασωνίδαν καὶ Ἀργεῖον εἰς δημοκρατίαν ἦγον τὴν πόλιν, οἱ δὲ περὶ Στάλκαν τε καὶ Ἱππίαν καὶ Στρατόλαν εἰς ὀλιγαρχίαν. ἐπεὶ δ' οἱ Ἀρκάδες μεγάλην δύναμιν ἔχοντες σύμμαχοι ἐδόκουν εἶναι τοῖς δημοκρατεῖσθαι βουλομένοις, ἐκ τούτου δὴ θρασύτεροι οἱ περὶ τὸν Χάροπον ἦσαν καὶ συνθέμενοι τοῖς Ἀρκάσιν ἐπιβοηθεῖν καταλαμβάνουσι τὴν ἀκρόπολιν. οἱ δ' ἱππεῖς καὶ οἱ τρια- 16
κόσιοι οὐκ ἐμέλλησαν, ἀλλ' εὐθὺς ἐχώρουν ἄνω καὶ ἐκκρούουσιν αὐτούς· ὥστ' ἔφυγον σὺν τῷ Ἀργείῳ καὶ Χαρόπῳ τῶν πολιτῶν περὶ τετρακοσίους. οὐ πολὺ δ' ὕστερον οὗτοι παραλαβόντες τῶν Ἀρκάδων τινὰς καταλαμβάνουσι Πύλον. καὶ πολλοὶ μέντοι πρὸς αὐτοὺς ἐκ τῆς πόλεως ἀπῄεσαν τοῦ δήμου, ἅτε χωρίον τε καλὸν καὶ μεγάλην ῥώμην τὴν τῶν Ἀρκάδων σύμμαχον ἔχοντας. ἐνέβαλον δὲ καὶ ὕστερον εἰς τὴν χώραν τὴν τῶν Ἠλείων οἱ Ἀρκάδες ὑπὸ τῶν φευγόντων ἀναπειθόμενοι, ὡς ἡ πόλις προσχωρήσοιτο. ἀλλὰ τότε μὲν οἱ Ἀχαιοὶ φίλοι γεγενημένοι τοῖς Ἠλείοις τὴν 17
πόλιν αὐτῶν διεφύλαξαν· ὥστε οἱ Ἀρκάδες οὐδὲν ἄλλο πράξαντες ἢ δῃώσαντες αὐτῶν τὴν χώραν ἀπῆλθον. εὐθὺς μέντοι ἐκ τῆς

Hügel im N. von Olympia. — *Μαργανεῖς*] Bew. von Margana in Triphylien, vgl. III, 2, 25. — *ἐνδόντων*] sc. *εἰς χεῖρας προδοσίᾳ.* — *προκεχωρηκότων*] *τῶν πραγμάτων*, vgl. V, 3, 27. VII, 2, 1. — *τὴν πόλιν*] die Landeshauptstadt Elis am Peneios. — *ὑποστάντες*] absolut = *ἀντιστάντες.* — *αὐτῶν*] Constr. ad sensum, *τῶν πολιτῶν.*

15. *καὶ πρότερον*] *καί* proleptisch zur folgenden Erzählung *ἐπεὶ δ' οἱ Ἀρκάδες.* — *Ἤλιδι*] nur die Stadt — *ἦγον*] Temp. de conatu. — *ἐκ τούτου δή*] epanalept. zum Temporalsatz wie *οὕτως* zum Kausalsatz. — *συνθέμενοι*] prägn. „vertragsmäſsig die Verpflichtung auferlegen". — *ἐπιβοηθεῖν*] erg. das Subj. aus dem Dativ.

16. *οἱ τριακόσιοι*] vgl. § 13. — *Πύλον*] im O. von Elis. — *καὶ ... μέντοι*] vgl. VI, 1, 18. — *τῆς πόλεως*] Elis. — *τοῦ δήμου*] mit Betonung von *πολλοί* getrennt. — *ῥώμην*] = *δύναμιν*; hierzu *σύμμαχον* prädikativ. — *προσχωρήσοιτο*] *transire.*

17. *Ἀχαιοί*] oligarchisch gesinnt, vgl. 1, 43. — *διεφύλαξαν*] mit Erfolg. —

Ἠλείας ἐξιόντες, αἰσθόμενοι τοὺς Πελληνεῖς ἐν Ἤλιδι ὄντας, νυκτὸς μακροτάτην ὁδὸν ἐλθόντες καταλαμβάνουσιν αὐτῶν Ὄλουρον· ἤδη γὰρ πάλιν προσεκεχωρήκεσαν οἱ Πελληνεῖς εἰς τὴν τῶν
18 Λακεδαιμονίων συμμαχίαν. ἐπεὶ δ' ᾔσθοντο τὰ περὶ Ὀλούρου, περιελθόντες αὖ καὶ οὗτοι ὅπῃ ἐδύναντο εἰς τὴν αὐτῶν πόλιν Πελλήνην εἰσῆλθον. καὶ ἐκ τούτου δὴ ἐπολέμουν τοῖς ἐν Ὀλούρῳ Ἀρκάσι τε καὶ τῷ ἑαυτῶν παντὶ δήμῳ μάλα ὀλίγοι ὄντες· ὅμως δὲ οὐ πρόσθεν ἐπαύσαντο, πρὶν ἐξεπολιόρκησαν τὸν Ὄλουρον.
19 Οἱ δ' αὖ Ἀρκάδες πάλιν ποιοῦνται* ἄλλην στρατείαν εἰς τὴν Ἦλιν. μεταξὺ δὲ Κυλλήνης καὶ τῆς πόλεως στρατοπεδευομένοις αὐτοῖς ἐπιτίθενται οἱ Ἠλεῖοι, ὑποστάντες δὲ οἱ Ἀρκάδες ἐνίκησαν αὐτούς. καὶ Ἀνδρόμαχος μὲν ὁ Ἠλεῖος ἵππαρχος, ὅσπερ αἴτιος ἐδόκει εἶναι τὴν μάχην συνάψαι, αὐτὸς αὑτὸν διέφθειρεν· οἱ δ' ἄλλοι εἰς τὴν πόλιν ἀπεχώρησαν. ἀπέθανε δὲ ἐν ταύτῃ τῇ μάχῃ παραγενόμενος καὶ Σωκλείδης ὁ Σπαρτιάτης· ἤδη γὰρ τότε οἱ
20 Λακεδαιμόνιοι σύμμαχοι τοῖς Ἠλείοις ἦσαν. πιεζόμενοι δὲ οἱ Ἠλεῖοι ἐν τῇ ἑαυτῶν ἠξίουν καὶ τοὺς Λακεδαιμονίους πέμποντες πρέσβεις ἐπιστρατεύειν τοῖς Ἀρκάσι, νομίζοντες οὕτως ἂν μάλιστα ἀπολαβεῖν τοὺς Ἀρκάδας, εἰ ἀμφοτέρωθεν πολεμοῖντο. καὶ ἐκ τούτου δὴ Ἀρχίδαμος στρατεύεται μετὰ τῶν πολιτῶν καὶ καταλαμβάνει Κρῶμνον. καταλιπὼν δ' ἐν αὐτῷ φρουρὰν τῶν δώδεκα
21 λόχων τρεῖς οὕτως ἐπ' οἴκου ἀνεχώρησεν. οἱ μέντοι Ἀρκάδες,

---

ἐξιόντες] durativ zu αἰσθόμενοι, dieses kausal zu ἐλθόντες, dieses perfektiv zu καταλαμβάνουσιν subordiniert. — Ἠλείας ... Ἤλιδι] welcher Unterschied? — αὐτῶν] τῶν Πελληνέων, sc. οὖσαν. — Ὄλουρος] St. nahe Pellene, im NO. von Achaja. — προσεκεχωρήκεσαν] zur Bedeutung vgl. § 16, zur Sache 2, 18.

18. τὰ περὶ Ὀλούρου] vgl. § 1. — περιελθόντες] auf Umwegen von Elis her. — Πελλήνην] der Name im Gegensatz zu Ὄλουρος hinzugefügt. — δήμῳ] die der Regierung abtrünnige Demokratenpartei in Pellene, welche sich offenbar mit den Arkadern in Oluros verbunden hatte. — ἐπαύσαντο] πολεμοῦντες, vgl. § 9.

19. Κυλλήνη] Hafenstadt im W. des Landes, im N. der Stadt Elis. — ὑποστάντες] vgl. § 14. — συνάψαι] ohne τοῦ, vgl. V, 4, 27.

20. ἠξίουν] vgl. § 8. — τ. Λακεδαιμονίους] verb. als Subj. mit dem Infin. — ἀπολαβεῖν] „sich vom Halse halten". — πολεμοῖντο] Subjektswechsel; persönlich konstruiertes Passiv. — πολιτῶν] τὸ πολιτικὸν στράτευμα, vgl. V, 4, 41 u. a.; an σύμμαχοι fehlte es eben. — Κρῶμνος] Städtchen im S. von Arkadien, nahe Megalopolis. — τῶν δώδεκα] τότε παρόντων.

ὥσπερ ἔτυχον ἐκ τῆς εἰς Ἦλιν στρατείας συνειλεγμένοι, βοηθήσαντες περιεσταύρωσαν τὸν Κρῶμνον διπλῷ σταυρώματι καὶ ἐν ἀσφαλεῖ ὄντες ἐπολιόρκουν τοὺς ἐν τῷ Κρώμνῳ. χαλεπῶς δὲ ἡ τῶν Λακεδαιμονίων πόλις φέρουσα ἐπὶ τῇ πολιορκίᾳ τῶν πολιτῶν ἐκπέμπει στρατιάν· ἡγεῖτο δὲ καὶ τότε Ἀρχίδαμος. ἐλθὼν δὲ ἐδῄου καὶ τῆς Ἀρκαδίας ὅσα ἐδύνατο καὶ τῆς Σκιρίτιδος καὶ πάντα ἐποίει, ὅπως, εἰ δύναιτο, ἀπαγάγοι τοὺς πολιορκοῦντας. οἱ δὲ Ἀρκάδες οὐδὲν ἔτι μᾶλλον ἐκινοῦντο, ἀλλὰ ταῦτα πάντα παρεώρων. κατιδὼν δέ τινα λόφον ὁ Ἀρχίδαμος, δι' οὗ τὸ ἔξω 22
σταύρωμα περιεβέβληντο οἱ Ἀρκάδες, ἐνόμισεν ἑλεῖν ἂν τοῦτον καὶ εἰ τούτου κρατήσειεν, οὐκ ἂν δύνασθαι μένειν τοὺς ὑπὸ τοῦτον πολιορκοῦντας. κύκλῳ δὲ περιάγοντος αὐτοῦ ἐπὶ τοῦτο τὸ χωρίον, ὡς εἶδόν οἱ προθέοντες τοῦ Ἀρχιδάμου πελτασταὶ τοὺς ἐπαρίτους ἔξω τοῦ σταυρώματος, ἐπιτίθενται αὐτοῖς, καὶ οἱ ἱππεῖς συνεμβάλλειν ἐπειρῶντο. οἱ δ' οὐκ ἐνέκλιναν, ἀλλὰ συντεταγμένοι ἡσυχίαν εἶχον. οἱ δ' αὖ πάλιν ἐνέβαλον. ἐπεὶ δὲ οὐδὲ τότε ἐνέκλιναν, ἀλλὰ καὶ ἐπῄεσαν, ἤδη οὔσης πολλῆς κραυγῆς, ἐβοήθει δὴ καὶ αὐτὸς ὁ Ἀρχίδαμος ἐκτραπόμενος κατὰ τὴν ἐπὶ Κρῶμνον φέρουσαν ἁμαξιτόν, εἰς δύο ἄγων, ὥσπερ ἐτύγχανεν ἔχων. ὡς δ' 23
ἐπλησίασαν ἀλλήλοις, οἱ μὲν σὺν τῷ Ἀρχιδάμῳ κατὰ κέρας, ἅτε καθ' ὁδὸν πορευόμενοι, οἱ δ' Ἀρκάδες ἀθρόοι συνασπιδοῦντες, ἐν τούτῳ οὐκέτι ἐδύναντο οἱ Λακεδαιμόνιοι ἀντέχειν τῷ τῶν Ἀρκάδων πλήθει, ἀλλὰ ταχὺ μὲν ὁ Ἀρχίδαμος ἐτέτρωτο τὸν μηρὸν

---

21. *ἐν ἀσφαλεῖ*] nach innen und aufsen, natürlich *ἐντὸς τῶν σταυρωμάτων*. — *ὅσα*] *χωρία*. — *Σκιρίτιδος*] früher zu Sparta gehörig, vgl. V, 2, 24; jetzt Anhänger des arkadischen Bundes, vgl. VI, 5, 26. — *ἀπαγάγοι*] *ἀποτρέψαι*. — *οὐδὲν ἔτι μᾶλλον*] sc. *ὡς πρότερον ἅτε ἐν ἀσφαλεῖ ὄντες*; vgl. § 5.

22. *δι' οὗ*] „mit dessen Hilfe". — *περιεβέβληντο*] Med. intensivum; *περι* deutet auf die Kreisform des *σταύρωμα*. — *ὑπὸ τοῦτον*] „am Fufse dieses Hügels". — *ἐπαρίτους*] die ständige Kerntruppe (Garde) des arkad. Bundes. Wurzel *ἀρι-*, vgl. *ἄριστος*. — *συντεταγμένοι*] *ἀθρόοι* § 23. — *οἱ δὲ ... οἱ δέ*] Subjektswechsel. — *καὶ αὐτός*] Gegens. *οἱ πελτασταί*. — *αὖ πάλιν*] Synonyma mit verschiedenen Beziehungen wie § 1, vgl. zu V, 1, 5. — *ἐκτραπόμενος*] „einbiegen". — *εἰς δύο*] „je zwei Mann neben einander", also *εἰρηνικῶς* wie III, 1, 22.

23. *κατὰ κέρας*] in langer Linie mit schmaler Front, welche beim Schwenken den Flügel bildet. — *συνασπιδοῦντες*] „Schild an Schild". — *πλήθει*] nicht absolut, sondern nur bezüglich der Stellung. — *ἐτέτρωτο*] vgl. zu

διαμπάξ, ταχὺ δὲ οἱ μαχόμενοι πρὸ αὐτοῦ ἀπέθνησκον, Πολυαινίδας τε καὶ Χίλων ὁ τὴν ἀδελφὴν τοῦ Ἀρχιδάμου ἔχων, καὶ οἱ
24 πάντες δὲ αὐτῶν τότε ἀπέθανον οὐκ ἔλαττον τῶν τριάκοντα. ὡς δὲ κατὰ τὴν ὁδὸν ἀναχωροῦντες εἰς τὴν εὐρυχωρίαν ἐξῆλθον, ἐνταῦθα δὴ Λακεδαιμόνιοι ἀντιπαρετάξαντο. καὶ μὴν οἱ Ἀρκάδες, ὥσπερ εἶχον, συντεταγμένοι ἕστασαν καὶ πλήθει μὲν ἐλείποντο, εὐθυμότερον δὲ πολὺ εἶχον ἐπεληλυθότες ἀποχωροῦσι καὶ ἄνδρας ἀπεκτονότες. οἱ δὲ Λακεδαιμόνιοι μάλα ἀθύμως εἶχον τετρωμένον μὲν ὁρῶντες τὸν Ἀρχίδαμον, ἀκηκοότες δὲ τὰ ὀνόματα τῶν τεθνη-
25 κότων, ἀνδρῶν τε ἀγαθῶν καὶ σχεδὸν τῶν ἐπιφανεστάτων. ὡς δὲ πλησίον ὄντων ἀναβοήσας τις τῶν πρεσβυτέρων εἶπε· Τί δεῖ ἡμᾶς, ὦ ἄνδρες, μάχεσθαι, ἀλλ' οὐ σπεισαμένους διαλυθῆναι; ἄσμενοι δὴ ἀμφότεροι ἀκούσαντες ἐσπείσαντο. καὶ οἱ μὲν Λακεδαιμόνιοι τοὺς νεκροὺς ἀνελόμενοι ἀπῆλθον, οἱ δ' Ἀρκάδες ἐπαναχωρήσαντες, ἔνθα τὸ πρῶτον ἤρξαντο ἐπιέναι, τρόπαιον ἐστήσαντο.

26 Ὡς δὲ οἱ Ἀρκάδες περὶ τὸν Κρῶμνον ἦσαν, οἱ ἐκ τῆς πόλεως Ἠλεῖοι πρῶτον μὲν ἰόντες ἐπὶ τὴν Πύλον περιτυγχάνουσι τοῖς Πυλίοις ἀποκεκρουμένοις ἐκ τῶν Θαλαμῶν. καὶ προσελαύνοντες οἱ ἱππεῖς τῶν Ἠλείων ὡς εἶδον αὐτούς, οὐκ ἐμέλλησαν, ἀλλ' εὐθὺς ἐμβάλλουσι, καὶ τοὺς μὲν ἀποκτιννύουσιν, οἱ δέ τινες αὐτῶν καταφεύγουσιν ἐπὶ γήλοφον. ἐπεὶ μέντοι ἦλθον οἱ πεζοί, ἐκκόπτουσι

V, 1, 22. — *διαμπάξ*] penitus. — *πρὸ αὐτοῦ*] zum Partic. und Verb. finit. gehörig; vgl. *οἱ περὶ δαμοσίαν* VI, 4, 14. — *ἔχων*] *γυναῖκα*. — *καὶ ... δέ*] vgl. V, 1, 11. — *οἱ πάντες*] vgl. V, 1, 28. — *ἔλαττον*] vgl. 1, 20. — *τῶν τριάκοντα*] vgl. 2, 9.

24. *κατὰ τὴν ὁδόν*] wie § 23; offenbar ein Hohlweg, Gegensatz *εὐρυχωρία*. — *Λακεδαιμόνιοι*] gemeinsames Subjekt für beide Sätze. — *ἀντιπαρετάξαντο*] jetzt regelrecht. — *εὐθυμότερον*] Adverb. verb. mit *εἶχον*, verstärkt durch *πολύ* (vgl. V, 3, 2), begründet durch die Participia. — *ἀποχωροῦσι*] prolept. gedacht zu *ἐπεληλυθότες* „gegen Leute, die sich zurückziehen mufsten"; thatsächlich ist *ἀναχωροῦντες* erst die Folge von *ἐπελθεῖν*.

25. *πλ. ὄντων*] *τῶν Ἀρκάδων*. — *ἀλλ' οὐ*] ac non (potius). — *νεκρούς*] sc. *ὑποσπόνδους*, wie aus *σπεισάμενοι* und *τρόπαιον ἐστήσαντο* zu schliefsen; vgl. VI, 4, 15. VII, 5, 13; 26.

26. *ἦσαν*] *ἐν τῷ ἔργῳ*. — *ἐκ τῆς πόλεως*] *Ἤλιδος*; Attrakt. zum Prädikat. — *περιτυγχάνουσι*] vgl. V, 1, 7. — *Πυλίοις*] darunter die Demokraten aus Elis § 16. — *Θαλάμαι*] befestigte Bergstadt in Elis, im NO. von Pylos am Skolliongebirge. — *ἐκκόπτουσι*] „überwältigen", gemeinsamer Begriff für die folgenden zwei

καὶ τοὺς ἐπὶ τῷ λόφῳ καὶ τοὺς μὲν αὐτοῦ ἀπέκτειναν, τοὺς δὲ καὶ ζῶντας ἔλαβον ἐγγὺς διακοσίων. καὶ ὅσοι μὲν ξένοι ἦσαν αὐτῶν, ἀπέδοντο, ὅσοι δὲ φυγάδες, ἀπέσφαττον. μετὰ δὲ ταῦτα τούς τε Πυλίους, ὡς οὐδεὶς αὐτοῖς ἐβοήθει, σὺν αὐτῷ τῷ χωρίῳ αἱροῦσι καὶ τοὺς Μαργανέας ἀναλαμβάνουσιν. καὶ μὴν οἱ Λακε- 27
δαιμόνιοι ὕστερον αὖ ἐλθόντες νυκτὸς ἐπὶ τὸν Κρῶμνον ἐπικρατοῦσι τοῦ σταυρώματος τοῦ κατὰ τοὺς Ἀργείους καὶ τοὺς πολιορκουμένους τῶν Λακεδαιμονίων εὐθὺς ἐξεκάλουν. ὅσοι μὲν οὖν ἐγγύτατά τε ἐτύγχανον ὄντες καὶ ὠξυλάβησαν, ἐξῆλθον· ὁπόσους δὲ ἔφθασαν πολλοὶ τῶν Ἀρκάδων συμβοηθήσαντες, ἀπεκλείσθησαν ἔνδον καὶ ληφθέντες διενεμήθησαν· καὶ ἓν μὲν μέρος ἔλαβον Ἀργεῖοι, ἓν δὲ Θηβαῖοι, ἓν δὲ Ἀρκάδες, ἓν δὲ Μεσσήνιοι. οἱ δὲ σύμπαντες ληφθέντες Σπαρτιατῶν τε καὶ περιοίκων πλείονες τῶν ἑκατὸν ἐγένοντο.

Ἐπεί γε μὴν οἱ Ἀρκάδες ἐσχόλασαν ἀπὸ τοῦ Κρώμνου, πάλιν 28
δὴ περὶ τοὺς Ἠλείους εἶχον καὶ τήν τε Ὀλυμπίαν ἐρρωμενέστερον ἐφρούρουν, καὶ ἐπιόντος Ὀλυμπιακοῦ ἔτους παρεσκευάζοντο ποιεῖν τὰ Ὀλύμπια σὺν Πισάταις τοῖς πρώτοις φάσκουσι προστῆναι τοῦ ἱεροῦ. ἐπεὶ δὲ ὅ τε μὴν ἧκεν, ἐν ᾧ τὰ Ὀλύμπια γίγνεται, αἵ τε ἡμέραι, ἐν αἷς ἡ πανήγυρις ἀθροίζεται, ἐνταῦθα δὴ οἱ Ἠλεῖοι ἐκ τοῦ φανεροῦ συσκευασάμενοι καὶ παρακαλέσαντες Ἀχαιοὺς ἐπο-

---

Verba. — αὐτοῦ] „an Ort und Stelle". — ἐγγύς] metaphorisch; konstruiert wie das Ortsadverb. — χωρίῳ] Pylos. — Μαργανέας] vgl. § 14.

27. τοῦ σταυρώματος] partitiv. — τοῦ κατὰ τ. Ἀ.] des den Argivern gegenüber liegenden, d. i. des von den A. beobachteten, resp. angegriffenen Teiles der Schanzen; diese hatten also den zwei J. früher (§ 11) geschlossenen Frieden wieder gebrochen. — τ. Λακεδαιμονίων] Gen. partit., weil zwei Teile zu unterscheiden, οἱ ἐκκαλοῦντες u. οἱ πολιορκούμενοι, vgl. § 20 τρεῖς λόχοι. — ὠξυλάβησαν] „rasch zugreifen". — Θηβαῖοι] offenbar Besatzungstruppen, welche bei Epaminondas' Heimkehr (1, 42) in Arkadien u. a. geblieben waren, vgl. 3, 4 u. 4, 36. — οἱ σύμπαντες] vgl. § 23. — τῶν ἑκατόν] vgl. § 23.

28. ἐσχόλασαν ἀπό] „nicht mehr in Anspruch genommen sein vonseiten". — δή] „natürlich". — εἶχον] mit adverbialer Bestimmung, vgl. § 11; § 26 dafür ἦσαν. — Ὀλυμπιακοῦ ἔτους] Beginn der 104. Olympiade. — πρώτοις] prädikativ verb. mit προστῆναι; zur Sache vgl. III, 2, 31. — ὁ μήν] der Vollmond nach der Sommersonnenwende. — αἱ ἡμέραι] die zum Fest bestimmten 5—6 Tage. — ἐκ τ. φανεροῦ] jedenfalls im Gegens. zu vorausgegangenen Verhandlungen.

29 ρεύοντο τὴν Ὀλυμπιακὴν ὁδόν. οἱ δὲ Ἀρκάδες ἐκείνους μὲν οὐκ ἄν ποτε ᾤοντο ἐλθεῖν ἐπὶ σφᾶς, αὐτοὶ δὲ σὺν Πισάταις διετίθεσαν τὴν πανήγυριν. καὶ τὴν μὲν ἱπποδρομίαν ἤδη ἐπεποιήκεσαν καὶ τὰ δρομικὰ τοῦ πεντάθλου· οἱ δ' εἰς πάλην ἀφικόμενοι οὐκέτι ἐν τῷ δρόμῳ, ἀλλὰ μεταξὺ τοῦ δρόμου καὶ τοῦ βωμοῦ ἐπάλαιον. οἱ γὰρ Ἠλεῖοι σὺν τοῖς ὅπλοις παρῆσαν ἤδη εἰς τὸ τέμενος. οἱ δὲ Ἀρκάδες πορρωτέρω μὲν οὐκ ἀπήντησαν, ἐπὶ δὲ τοῦ Κλαδάου ποταμοῦ παρετάξαντο, ὃς παρὰ τὴν Ἄλτιν καταρρέων εἰς τὸν Ἀλφειὸν ἐμβάλλει. καὶ σύμμαχοι δὲ παρῆσαν αὐτοῖς, ὁπλῖται μὲν Ἀργείων εἰς δισχιλίους, Ἀθηναίων δὲ ἱππεῖς περὶ
30 τετρακοσίους. καὶ μὴν οἱ Ἠλεῖοι τἀπὶ θάτερα τοῦ ποταμοῦ παρετάξαντο, σφαγιασάμενοι δὲ εὐθὺς ἐχώρουν. καὶ τὸν πρόσθεν χρόνον εἰς τὰ πολεμικὰ καταφρονούμενοι μὲν ὑπ' Ἀρκάδων καὶ Ἀργείων, καταφρονούμενοι δὲ ὑπ' Ἀχαιῶν καὶ Ἀθηναίων ὅμως ἐκείνῃ τῇ ἡμέρᾳ τῶν μὲν συμμάχων ὡς ἀλκιμώτατοι ὄντες ἡγοῦντο, τοὺς δ' Ἀρκάδας, — τούτοις γὰρ πρώτοις συνέβαλον, — καὶ εὐθὺς ἐτρέψαντο καὶ ἐπιβοηθήσαντας δὲ τοὺς Ἀργείους δεξάμενοι
31 καὶ τούτων ἐκράτησαν. ἐπεὶ μέντοι κατεδίωξαν εἰς τὸ μεταξὺ τοῦ βουλευτηρίου καὶ τοῦ τῆς Ἑστίας ἱεροῦ καὶ τοῦ πρὸς ταῦτα προσήκοντος θεάτρου, ἐμάχοντο μὲν οὐδὲν ἧττον καὶ ἐώθουν πρὸς τὸν βωμόν, ἀπὸ μέντοι τῶν στοῶν τε καὶ τοῦ βουλευτηρίου καὶ

---

29. *οὐκ ἄν*] vgl. zu V, 1, 15. — *αὐτοὶ δέ*] konsekutive Parataxis. — *τὰ δρομικά*] *οἱ ἐν τῷ δρόμῳ ἀγῶνες*, also die erste Abteilung des Pentathlon, welches fünf Kampfarten vereint: *ἅλμα, ποδωκείην, δίσκον, ἄκοντα, πάλην*. — *οἱ εἰς πάλην ἀφ.*] die aus den bisherigen Kämpfen siegreich Hervorgegangenen und zum letzten Gange, der *πάλη*, Zugelassenen. — *τ. βωμοῦ*] der grofse, aus der Asche der Opfertiere errichtete Altar des Zeus; seine Nähe sollte die Kämpfer vor dem Angriff der Eleer schützen. — *παρῆσαν εἰς*] wie § 8. — *τὸ τέμενος*] „der ganze heilige Festbezirk“; vgl. VI, 5, 27. — *Κλάδαος*] Nebenfl. des Alpheios, von N. her bei Olympia mündend. — *Ἄλτιν*] *τὸ ἱερὸν ἄλσος τοῦ Διός*, der innere ummauerte Teil des *τέμενος*, am l. Ufer des Kladaos.

30. *τἀπὶ θάτερα*] Acc. der räuml. Ausdehnung, vgl. VI, 2, 7. — *ἐχώρουν*] *ὁμόσε*; im D. „vorgehen“. — *καὶ ... δέ*] nach vorangegangenem *καί* vgl. VI, 1, 2. — *καὶ τούτων*] die Bedeutung von *καί* ergiebt sich aus der Konstruktion wie aus dem Sinne.

31. *Ἑστίας*] die das Haus beschützende und das Gastrecht schirmende Göttin; vgl. *ἑστιάω, Vesta*. — *οὐδὲν ἧττον*] proleptisch; der konzessive Gegensatz *μέντοι* folgt. — *ἐώθουν*] wie zu *κατεδίωξαν* erg. als Obj. *τοὺς ἐναντίους*. —

τοῦ μεγάλου ναοῦ βαλλόμενοι καὶ ἐν τῷ ἰσοπέδῳ μαχόμενοι ἀποθνήσκουσιν ἄλλοι τε τῶν Ἠλείων καὶ αὐτὸς ὁ τῶν τριακοσίων ἄρχων Στρατόλας. τούτων δὲ πραχθέντων ἀπεχώρησαν εἰς τὸ αὐτῶν στρατόπεδον. οἱ μέντοι Ἀρκάδες καὶ οἱ μετ' αὐτῶν οὕτως 32
ἐπεφόβηντο τὴν ἐπιοῦσαν ἡμέραν, ὥστε οὐδ' ἀνεπαύσαντο τῆς νυκτός, ἐκκόπτοντες τὰ διαπεπονημένα σκηνώματα καὶ ἀποσταυροῦντες· οἱ δ' αὖ Ἠλεῖοι ἐπεὶ τῇ ὑστεραίᾳ προσιόντες εἶδον καρτερὸν τὸ τεῖχος καὶ ἐπὶ τῶν ναῶν πολλοὺς ἀναβεβηκότας, ἀπῆλθον εἰς τὸ ἄστυ, τοιοῦτοι γενόμενοι οἵους τὴν ἀρετὴν θεὸς μὲν ἂν ἐμπνεύσας δύναιτο καὶ ἐν ἡμέρᾳ ἀποδεῖξαι, ἄνθρωποι δὲ οὐδ' ἂν ἐν πολλῷ χρόνῳ τοὺς μὴ ὄντας ἀλκίμους ποιήσειαν.

Χρωμένων* δὲ τοῖς ἱεροῖς χρήμασι τῶν ἐν τοῖς Ἀρκάσιν 33
ἀρχόντων καὶ ἀπὸ τούτων τοὺς ἐπαρίτους τρεφόντων, πρῶτοι Μαντινεῖς ἀπεψηφίσαντο μὴ χρῆσθαι τοῖς ἱεροῖς χρήμασιν. καὶ αὐτοὶ τὸ γιγνόμενον μέρος εἰς τοὺς ἐπαρίτους ἐκ τῆς πόλεως ἐκπορίσαντες ἀπέπεμψαν τοῖς ἄρχουσιν. οἱ δὲ ἄρχοντες φάσκοντες αὐτοὺς λυμαίνεσθαι τὸ Ἀρκαδικὸν ἀνεκαλοῦντο εἰς τοὺς μυρίους τοὺς προστάτας αὐτῶν· καὶ ἐπεὶ οὐχ ὑπήκουον, κατεδίκασαν αὐτῶν καὶ τοὺς ἐπαρίτους ἔπεμπον ὡς ἄξοντας τοὺς κατακεκριμένους. οἱ μὲν οὖν Μαντινεῖς κλείσαντες τὰς πύλας οὐκ ἐδέχοντο αὐτοὺς

τοῦ μεγάλου ναοῦ] der berühmte Zeustempel mit dem Kunstwerke des Phidias. — *βαλλόμενοι*] ἄνωθεν, vgl. § 32 *ἀναβεβηκότας*; daher hier der Gegens. *ἰσοπέδῳ*. — *τριακοσίων*] vgl. § 13. — *Στρατόλας*] vgl. § 15.

32. *οὐδέ*] betont den ganzen Satz „sich nicht einmal die Nachtruhe gönnen". — *σκηνώματα*] Zelte und Buden für die Festbesucher und Handelsleute. Die *πανηγύρεις* gaben im Altertume regelmäſsig Gelegenheit und Anlaſs zur gleichzeitigen Erledigung von Handelsgeschäften, wie später auch in der altchristlichen Zeit das Zusammenströmen von Menschen bei Kirchweihfesten (Kirmessen) u. dgl. zur gleichzeitigen Abhaltung von Jahrmärkten (Messen) führte. — *ἀποσταυροῦντες*] absolut = *σταυρώματα ποιοῦντες*, daher nachher *τεῖχος*. — *τὸ ἄστυ*] Ἦλις. — *τοιοῦτοι*] d. i. *ἀλκιμώτατοι*. — *οἵους ... ἂν δύναιτο*] vgl. V, 2, 23. — *τὴν ἀρετήν*] Acc. der Beziehung zu *οἵους*, zugleich als Objekt zu *ἐμπνεύσας* zu denken. — *καὶ ἐν ἡμέρᾳ*] *vel (brevi) diei spatio*; Gegensatz im nächsten Satze.

33. *ἐπαρίτους*] vgl. § 22. — *ἀπεψηφίσαντο μή*] Abundanz der Negation. — *γιγνόμενον*] „auf sie entfallend". — *εἰς τοὺς ἐπ.*] zur Besoldung d. E. — *ἐκπορίσαντες*] „aufbringen". — *τ. Ἀρκαδικόν*] der arkadische Bund. — *τοὺς μυρίους*] vgl. VI, 5, 6. VII, 1, 38. — *ἔπεμπον*] Temp. de conatu. — *ἄξοντας*] *ἀπάξοντας εἰς τοὺς μυρίους*.

34 *εἴσω. ἐκ δὲ τούτου τάχα δὴ καὶ ἄλλοι τινὲς ἔλεγον ἐν τοῖς μυρίοις, ὡς οὐ χρὴ τοῖς ἱεροῖς χρήμασι χρῆσθαι οὐδὲ καταλιπεῖν εἰς τὸν ἀεὶ χρόνον τοῖς παισὶν ἔγκλημα τοῦτο πρὸς τοὺς θεούς. ὡς δὲ καὶ ἐν τῷ κοινῷ ἀπέδοξε μηκέτι χρῆσθαι τοῖς ἱεροῖς χρήμασι, ταχὺ δὴ οἱ μὲν οὐκ ἂν δυνάμενοι ἄνευ μισθοῦ τῶν ἐπαρίτων εἶναι διεχέοντο, οἱ δὲ δυνάμενοι παρακελευσάμενοι αὐτοῖς καθίσταντο εἰς τοὺς ἐπαρίτους, ὅπως μὴ αὐτοὶ ἐπ᾽ ἐκείνοις, ἀλλ᾽ ἐκεῖνοι ἐπὶ σφίσιν εἶεν. γνόντες δὲ τῶν ἀρχόντων οἱ διακεχειρικότες τὰ ἱερὰ χρήματα, ὅτι, εἰ δώσοιεν εὐθύνας, κινδυνεύσοιεν ἀπολέσθαι, πέμπουσιν εἰς Θήβας καὶ διδάσκουσι τοὺς Θηβαίους, ὡς, εἰ μὴ στρα-*
35 *τεύσοιεν, κινδυνεύσοιεν οἱ Ἀρκάδες πάλιν λακωνίσαι. καὶ οἱ μὲν παρεσκευάζοντο ὡς στρατευσόμενοι· οἱ δὲ τὰ κράτιστα τῇ Πελοποννήσῳ βουλευόμενοι ἔπεισαν τὸ κοινὸν Ἀρκάδων πέμψαντας πρέσβεις εἰπεῖν τοῖς Θηβαίοις μὴ ἰέναι σὺν ὅπλοις εἰς τὴν Ἀρκαδίαν, εἰ μή τι καλοῖεν. καὶ ἅμα μὲν ταῦτα πρὸς τοὺς Θηβαίους ἔλεγον, ἅμα δὲ ἐλογίζοντο, ὅτι πολέμου οὐδὲν δέοιντο. τοῦ τε γὰρ ἱεροῦ τοῦ Διὸς προεστάναι οὐδὲν προσδεῖσθαι ἐνόμιζον, ἀλλ᾽ ἀποδιδόντες ἂν καὶ δικαιότερα καὶ ὁσιώτερα ποιεῖν, καὶ τῷ θεῷ οἴεσθαι μᾶλλον ἂν οὕτω χαρίζεσθαι. βουλομένων δὲ ταῦτα καὶ*

---

34. *οὐ χρή*] vgl. V, 3, 7. — *ἀπέδοξε μηκέτι*] vgl. § 33. — *οἱ οὐκ ἂν δυνάμενοι*] *οἵτινες οὐκ ἂν δύναιντο . . . εἶναι*; obwohl das Partic. generisch ist, also mit *μή* stehen müfste, hat es *οὐ* beibehalten, da es zugleich den Nachsatz des hypoth. Vordersatzes *ἄνευ μισθοῦ* bildet; vgl. V, 2, 23. — *τῶν ἐπαρίτων εἶναι*] partitiv; vgl. im Frz. *il est de mes amis*. — *οἱ δυνάμενοι*] = *οἳ ἠδύναντο*, d. i. die lakonisch gesinnten Aristokraten. — *αὐτοῖς*] Reflex. für das Reciproc. *ἀλλήλοις*. — *καθίσταντο ἑ. τ. ἑ.*] *ἀντὶ τῶν διαχεομένων*. — *ἐπ᾽ ἐκείνοις*] in Abhängigkeit von der thebanisch gesinnten Bundesbehörde. — *στρατεύσοιεν*] *εἰς τὴν Πελοπόννησον*.

35. *οἱ μέν*] *Θηβαῖοι*. — *οἱ δέ*] *βέλτιστοι τῶν Ἀρκάδων*. — *βουλευόμενοι* „im Sinne haben". — *πέμψαντας . . . καλοῖεν*] Plur. *κατὰ σύνεσιν*. — *εἰ μή*] = *nisi forte*. — *ἅμα μὲν . . . ἅμα δέ*] komparative Parataxe „wie . . . so in der That". — *πολέμου*] „Bürgerkrieg" mit den Eleern im Gegensatz zu der äufseren Einmischung Thebens. — *οὐδέν*] „überhaupt nicht". — *δέοιντο*] „Interesse haben". — *προεστάναι*] vgl. § 28. — *προσδεῖσθαι*] noch ferner. — *ἀποδιδόντες*] *τοῖς Ἠλείοις τὸ προεστάναι*, hypothet. — *ποιεῖν . . . χαρίζεσθαι*] welchem der vorausgehenden Infinitive parallel? — *οἴεσθαι*] „das sei ihre Ansicht", pleonastisch nach *ἐνόμιζον*, in die Or. obl. parenthetisch eingeschoben, wie *οἶμαι*, *ἔφη*, *opinor*, *inquit* in die Or. recta; ähnlicher Pleonasmus § 4 *φαίη*, § 8 *λογίζεσθε*. — *καὶ ἐγέν.*] *et profecto*.

τῶν Ἠλείων, ἔδοξεν ἀμφοτέροις εἰρήνην ποιήσασθαι· καὶ ἐγένοντο σπονδαί.

Γενομένων δὲ τῶν ὅρκων καὶ ὀμοσάντων τῶν τε ἄλλων ἁπάν- 36
των καὶ Τεγεατῶν καὶ αὐτοῦ τοῦ Θηβαίου, ὃς ἐτύγχανεν ἐν Τεγέᾳ ἔχων τριακοσίους ὁπλίτας τῶν Βοιωτῶν, οἱ μὲν Ἀρκάδες ἐν τῇ Τεγέᾳ αὐτοῦ ἐπικαταμείναντες ἐδειπνοποιοῦντό τε καὶ εὐθυμοῦντο καὶ σπονδὰς καὶ παιᾶνας ὡς εἰρήνης γεγενημένης ἐποιοῦντο, ὁ δὲ Θηβαῖος καὶ τῶν ἀρχόντων οἱ φοβούμενοι τὰς εὐθύνας σύν τε τοῖς Βοιωτοῖς καὶ τοῖς ὁμογνώμοσι τῶν ἐπαρίτων κλείσαντες τὰς πύλας τοῦ τῶν Τεγεατῶν τείχους, πέμποντες ἐπὶ τοὺς σκηνοῦντας συνελάμβανον τοὺς βελτίστους. ἅτε δὲ ἐκ πασῶν τῶν πόλεων παρόντων τῶν Ἀρκάδων καὶ πάντων εἰρήνην βουλομένων ἔχειν, πολλοὺς ἔδει τοὺς συλλαμβανομένους εἶναι· ὥστε ταχὺ μὲν αὐτοῖς τὸ δεσμωτήριον μεστὸν ἦν, ταχὺ δὲ ἡ δημοσία οἰκία. ὡς δὲ πολλοὶ οἱ 37
εἱργμένοι ἦσαν, πολλοὶ δὲ κατὰ τοῦ τείχους ἐκπεπηδηκότες, ἦσαν δ᾿ οἳ καὶ διὰ τῶν πυλῶν ἀφεῖντο· — οὐδεὶς γὰρ οὐδενὶ ὠργίζετο, ὅστις μὴ ᾤετο ἀπολεῖσθαι· — ἀπορῆσαι δὴ μάλιστα ἐποίησε τόν τε Θηβαῖον καὶ τοὺς μετ᾿ αὐτοῦ ταῦτα πράττοντας ὅτι Μαντινέας, οὓς μάλιστα ἐβούλοντο λαβεῖν, ὀλίγους τινὰς πάνυ εἶχον· διὰ γὰρ τὸ ἐγγὺς τὴν πόλιν εἶναι σχεδὸν πάντες ᾤχοντο οἴκαδε. ἐπεὶ δὲ 38
ἡμέρα ἐγένετο καὶ τὰ πεπραγμένα ἐπύθοντο οἱ Μαντινεῖς, εὐθὺς πέμποντες εἴς τε τὰς ἄλλας Ἀρκαδικὰς πόλεις προηγόρευον ἐν τοῖς ὅπλοις εἶναι καὶ φυλάττειν τὰς παρόδους, καὶ αὐτοὶ δὲ οὕτως

36. τοῦ Θηβαίου] ἁρμοστοῦ, vgl. § 27. — αὐτοῦ] vgl. § 26. — ἐπικαταμείναντες] noch länger, vgl. § 35 προσδέοιντο. — σπονδάς] im eigentlichen Sinne. — πέμποντες] absolut. — σκηνοῦντας] anderer Ausdruck für δειπνοποιουμένους, vgl. V, 3, 20; ähnliche Wendungen im D. z. B. „hausen", „tagen". — ἔδει] für ἀνάγκη. — ἡ δημοσία οἰκία] „das Rathaus".

